χρόνος γὰρ οὐκ ἦν πρὸ κόσμου, ἀλλ' ἢ σὺν αὐτῷ γέγονεν ἢ μετ' αὐτόν· ἐπεὶ γὰρ διάστημα τῆς τοῦ κόσμου κινήσεώς ἐστιν ὁ χρόνος, προτέρα τοῦ κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ' ἀναγκαῖον αὐτὴν ἢ ὕστερον ἢ ἅμα συνίστασθαι· ἀναγκαῖον ἄρα καὶ τὸν χρόνον ἢ ἰσήλικα κόσμου γεγονέναι ἢ νεώτερον ἐκείνου· πρεσβύτερον δ' ἀποφαίνεσθαι τολμᾶν ἀφιλόσοφον. εἰ δ' ἀρχὴ μὴ παραλαμβάνεται τανῦν ἡ κατὰ χρόνον, εἰκὸς ἂν εἴη μηνύεσθαι τὴν κατ' ἀριθμόν, ὡς τὸ „ἐν ἀρχῇ ἐποίησεν“ ἴσον εἶναι τῷ πρῶτον ἐποίησε τὸν οὐρανόν. καὶ γὰρ εὔλογον τῷ ὄντι πρῶτον αὐτὸν εἰς γένεσιν ἐλθεῖν, ἄριστόν τ' ὄντα τῶν γεγονότων κἀκ τοῦ καθαρωτάτου τῆς οὐσίας παγέντα, διότι θεῶν ἐμφανῶν τε καὶ αἰσθητῶν ἔμελλεν οἶκος ἔσεσθαι ἱερώτατος. καὶ γὰρ εἰ πάνθ' ἅμα ὁ ποιῶν ἐποίει, τάξιν οὐδὲν ἧττον εἶχε τὰ καλῶς γινόμενα· καλὸν γὰρ οὐδὲν ἐν ἀταξίᾳ. τάξις δ' ἀκολουθία καὶ εἱρμός ἐστι προηγουμένων τινῶν καὶ ἑπομένων, εἰ καὶ μὴ τοῖς ἀποτελέσμασιν, ἀλλά τοι ταῖς τῶν τεκταινομένων ἐπινοίαις· οὕτω γὰρ ἔμελλον ἠκριβῶσθαί τε καὶ ἀπλανεῖς εἶναι καὶ ἀσύγχυτοι. πρῶτον οὖν ὁ ποιῶν ἐποίει οὐρανὸν ἀσώματον καὶ γῆν ἀόρατον καὶ ἀέρος ἰδέαν καὶ κενοῦ· ὧν τὸ μὲν ἐπεφήμισε σκότος, ἐπειδὴ μέλας ὁ ἀὴρ τῇ φύσει, τὴν δ' ἄβυσσον, πολύβυθον γὰρ τό γε κενὸν καὶ ἀχανές· εἶθ' ὕδατος ἀσώματον οὐσίαν καὶ πνεύματος καὶ ἐπὶ πᾶσιν ἑβδόμου φωτός, ὃ πάλιν ἀσώματον ἦν καὶ νοητὸν ἡλίου παράδειγμα καὶ πάντων ὅσα φωσφόρα ἄστρα κατὰ τὸν οὐρανὸν ἔμελλε συνίστασθαι.

8. Προνομίας δὲ τό τε πνεῦμα καὶ τὸ φῶς ἠξίου· τὸ μὲν γὰρ

ἀρχὴν *Eus.V* 1 πρὸς κόσμον *C* μεθ' αυτόν (sic) *V* 2 ἐπεὶ *Eus.V*: ἐπειδὴ ***Mab*** διάστημα τῆς] διαστήματος ***M*** κόσμου *Eus.* ***VMFa*** : χρόνου ***b***, οὐρανοῦ *edd.* 3 προτέρου *V*, πρότερον δὲ *Eus.* 4 ἄρα *V* καὶ om. ***b*** ἢ ἰσήλικα *Eus.* ***ABCb***, ἡ ἰσήλικα *V* : ἢ om. ***MD*** 5 τοῦ κόσμου ***Fa*** γεγονέναι] γενέσθαι ***a*** δὲ διαποφαίνεσθαι ***M*** 6 ἀφιλόσοφον *Eus.* ***VMFa*** : τῷ ὄντι add. ***b*** τανῦν om. ***D*** ἡ] ἦν *V* 8 τῷ] τὸ ***VF*** 9 αὐτὸν εἰς γένεσιν ***VMFa*** : εἰς γένεσιν αὐτὸν ***b*** 10 κἀκ τοῦ ***ab*** : καὶ τοῦ ***VM*** τὴν οὐσίαν ***a*** 11 ἐμφανῶν ***VMC***: ἐμ(α)φανῶν ***A***, ἀφανῶν ***BDb*** ἔσεσθαι] ἔσται ***D*** 12 πάνθ' ἅμα] πᾶν θαῦμα ***M*** 13 ἐν om. *V* 15 τοι ***Vb*** : γε ***Ma*** ἔμελλεν *B* 16 πρῶτον οὖν *Eus.* ***VMa***: πρῶτον οὖν παρὰ τοῦ νοητοῦ κόσμου ***b*** ὁ om. *M* 18 τὸ μὲν *Eus.* ***VMa***: τὸν μὲν ***b*** ἐπεφήμισε *Eus.* ***VMa*** : ἐφήμισε ***b*** ὁ om. *M* 19 τὴν *Eus.V* : τὸ ***Mab*** γε om. ***Ma*** 20 καὶ ante ἐπὶ om. *M* 22 πάντα *Eus.V* φωσφόρα κατὰ τὸν οὐρανὸν ἔμελλεν ἄστρα συνίστασθαι *BD* 23 τό τε πνεῦμα *Eus.* ***VMa*** : τε om. ***b*** ἠξιοῦτο· τὸ μὲν *Eus.V*, ἠξιοῦτο μὲν *M*[h]

---

2 [de incorr. mundi] II 492 τάχα τις εὑρεσιλογῶν Στωϊκὸς ἐρεῖ τὸν χρόνον ἀποδεδόσθαι διάστημα τῆς τοῦ κόσμου κινήσεως.

ὠνόμασε θεοῦ, διότι ζωτικώτατον τὸ πνεῦμα, ζωῆς δὲ θεὸς αἴτιος, ὸ δὲ φῶς, ὅτι ὑπερβαλλόντως καλόν· τοσούτῳ γὰρ τὸ νοητὸν τοῦ ρατοῦ λαμπρότερόν τε καὶ αὐγοειδέστερον ὅσῳπερ ἥλιος, οἶμαι, σκόους καὶ ἡμέρα νυκτὸς καὶ τῶν αἰσθητικῶν κριτηρίων ὁ νοῦς ὁ τῆς λης ψυχῆς ἡγεμὼν καὶ ὀφθαλμοὶ σώματος. τὸ δ' ἀόρατον καὶ νοητὸν ›ῶς ἐκεῖνο θείου λόγου γέγονεν εἰκὼν τοῦ | διερμηνεύσαντος τὴν p. 7 M. ένεσιν αὐτοῦ· καὶ ἔστιν ὑπερουράνιος ἀστήρ, πηγὴ τῶν αἰσθητῶν :στέρων, ἣν οὐκ ἀπὸ σκοποῦ καλέσειεν ἄν τις παναύγειαν, ἀφ' ἧς ἥλιος καὶ σελήνη καὶ οἱ ἄλλοι πλάνητές τε καὶ ἀπλανεῖς ἀρύονται, καθ' ὅσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη, τῆς ἀμιγοῦς :αὶ καθαρᾶς αὐγῆς ἐκείνης ἀμαυρουμένης, ὅταν ἄρξηται τρέπεσθαι :ατὰ τὴν ἐκ νοητοῦ πρὸς αἰσθητὸν μεταβολήν· εἰλικρινὲς γὰρ οὐδὲν :ῶν ἐν αἰσθήσει.

9. Εὖ μέντοι καὶ τὸ φάναι ὅτι „σκότος ἦν ἐπάνω τῆς ἀβύσσου". :ρόπον γάρ τιν' ὁ ἀὴρ ὑπὲρ τὸ κενόν ἐστιν, ἐπειδὴ πᾶσαν τὴν ἀχανῆ ιαὶ ἐρήμην καὶ κενὴν χώραν ἐπιβὰς ἐκπεπλήρωκεν, ὅση πρὸς ἡμᾶς ἱπὸ τῶν κατὰ σελήνην καθήκει. Μετὰ δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἀνάλαμψιν, ὃ πρὸ ἡλίου γέγονεν, ὑπεχώρει τὸ ἀντίπαλον σκότος, δια:ειχίζοντος ἀπ' ἀλλήλων αὐτὰ καὶ διιστάντος θεοῦ τοῦ τὰς ἐναντιό:ητας εὖ εἰδότος καὶ τὴν ἐκ φύσεως αὐτῶν διαμάχην. ἵν' οὖν μὴ αἰεὶ

---

1 ὀνομάσαι *M* διὅτι *V* 2 ὑπερβάλλοντος *D*, ὑπερβάλλον *Eus. V* τοσ›ῦτον *VF*, $τοσοῦτ\overset{ω}{ο}$ M^h, τοσοῦτο ***b*** γὰρ om. *V* 3 ὅσαπερ *D* 4 τῶν αἰσθη:ικῶν κριτηρίων ***b*** : τῶν αἰσθητῶν κριτηρίων ***a***, τῶν κριτηρίων *M*, τὰ κριτή›ια *Eus. V* 5 καὶ post ἡγεμὼν om. *Eus. V* ὀφθαλμῶν *Eus. V* τὸ δ' ἀόρατον καὶ νοητὸν φῶς ἐκεῖνο (ὃ add. *V*) θείου λόγου γέγονεν εἰκὼν *Eus. Jo. Dam. V* : τὸν δὲ ἀόρατον καὶ νοητὸν θεῖον λόγον καὶ θεοῦ λόγον (καὶ θεοῦ λόγον om. *BDE*) εἰκόνα λέγει θεοῦ· καὶ ταύτης εἰκόνα (ταύτης τῆς εἰκόνος ***a***) τὸ νοητὸν φῶς ἐκεῖνο ὃ (ὃ om. ***Ma***) θείου λόγου (λόγου om. *BD*) γέγονεν εἰκὼν ***Mab*** 7 πηγὴ] πλὴν *Jo. Dam.* 8 ἣν] ὃν *Jo. Dam.* 9 ἥλιος καὶ σελήνη *Eus. Jo. Dam. V* : ὁ ἥλιος καὶ σελήνη ***b***, ὁ ἥλιος καὶ ἡ σελήνη ***MFa*** πλανῆται *Eus.* τε om. *M* ἀρύτονται *Eus. codex I*, ἀρότονται *Eus. codex D*, ἀρύττονται *V*: ἀρύονται ***Mab***, ἄρχονται *Jo. Dam.* 10 καὶ καθόσον *Jo. Dam.* $ἑκάστ\overset{ω}{ου}$ *M* φέγγει *M* τῆς] καὶ *Jo. Dam.* ἀμιγοῦς] αὐγοῦς *D* 11 αὐγῆς ἐκείνης *Eus. VM* : ἐκείνης αὐγῆς ***ab*** ὅταν] οὗ ἂν *Eus.*, οὗ αν (sic) *V* ἄρχηται *M* 14 τὸ σκότος *MFAC* cf. LXX 18 ἀνάλαμψιν ***b*** : ἀνάληψιν ***VMFa*** διατιχείζοντος *V* 19 $διιστ\overset{ά}{ῶ}ντος$ *M* θεοῦ ***VMFa*** : τοῦ θεοῦ ***b*** 20 αἰεὶ *V* : ἀεὶ *ceteri*

---

15 sqq. de somn. I 641 ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώτην δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων, ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντη ταθεὶς ἔφθακεν. de vit. Mos. II 153 φύσει γὰρ ὁ ἀὴρ μέλας καὶ τρόπον τινὰ ποδήρης ἄνωθεν ἀπὸ τῶν κατὰ σελήνην καὶ μέχρι τῆς γῆς ταθεὶς περάτων πάντη κεχυμένος. de monarch. II 225.

συμφερόμενα στασιάζωσι καὶ πόλεμος ἀντ᾽ εἰρήνης ἐπικρατῇ τὴν ἀκοσμίαν ἐν κόσμῳ τιθείς, οὐ μόνον ἐχώρισε φῶς καὶ σκότος, ἀλλὰ καὶ ὅρους ἐν μέσοις ἔθετο διαστήμασιν, οἷς ἀνεῖρξε τῶν ἄκρων ἑκάτερον· ἔμελλε γὰρ γειτνιῶντα σύγχυσιν ἀπεργάζεσθαι τῷ περὶ δυναστείας ἀγῶνι κατὰ πολλὴν καὶ ἄπαυστον φιλονεικίαν ἐπαποδυόμενα, εἰ μὴ μέσοι παγέντες ὅροι διέζευξαν καὶ διέλυσαν τὴν ἀντεπίθεσιν. οὗτοι δ᾽ εἰσὶν ἑσπέρα τε καὶ πρωΐα, ὧν ἡ μὲν προευαγγελίζεται μέλλοντα ἥλιον ἀνίσχειν ἠρέμα τὸ σκότος ἀνείργουσα· ἡ δ᾽ ἑσπέρα καταδύντι ἐπιγίνεται ἡλίῳ τὴν ἀθρόαν τοῦ σκότους φορὰν πρᾴως ἐκδεχομένη. καὶ ταῦτα μέντοι, πρωΐαν λέγω καὶ ἑσπέραν, ἐν τῇ τάξει τῶν ἀσωμάτων καὶ νοητῶν θετέον· ὅλως γὰρ οὐδὲν αἰσθητὸν ἐν τούτοις, ἀλλὰ πάντα ἰδέαι καὶ μέτρα καὶ τύποι καὶ σφραγῖδες, εἰς γένεσιν ἄλλων ἀσώματα σωμάτων. Ἐπεὶ δὲ φῶς μὲν ἐγένετο, σκότος δ᾽ ὑπεξέστη καὶ ἀνεχώρησεν, ὅροι δ᾽ ἐν τοῖς μεταξὺ διαστήμασιν ἐπάγησαν ἑσπέρα τε καὶ πρωΐα, κατὰ τἀναγκαῖον τοῦ χρόνου μέτρον ἀπετελεῖτο εὐθύς, ὃ καὶ ἡμέραν ὁ ποιῶν ἐκάλεσεν· καὶ ἡμέραν οὐχὶ πρώτην, ἀλλὰ μίαν, ἣ λέλεκται διὰ τὴν τοῦ νοητοῦ κόσμου μόνωσιν μοναδικὴν ἔχοντος φύσιν.

10. Ὁ μὲν οὖν ἀσώματος κόσμος ἤδη πέρας εἶχεν ἱδρυθεὶς ἐν
p. 8 M. τῷ θείῳ λόγῳ, ὁ δ᾽ αἰσθητὸς | πρὸς παράδειγμα τούτου ἐτελειογονεῖτο. καὶ πρῶτον αὐτοῦ τῶν μερῶν, ὃ δὴ καὶ πάντων ἄριστον, ἐποίει τὸν οὐρανὸν ὁ δημιουργός, ὃν ἐτύμως στερέωμα προσηγόρευσεν ἅτε σωματικὸν ὄντα· τὸ γὰρ σῶμα φύσει στερεόν, ὅτιπερ καὶ τριχῇ διαστατόν· στερεοῦ δὲ καὶ σώματος ἔννοια τίς ἑτέρα πλὴν τὸ πάντῃ διεστηκός; εἰκότως οὖν ἀντιτιθεὶς τῷ νοητῷ καὶ ἀσωμάτῳ τὸν αἰσθητὸν καὶ σωματοειδῆ τοῦτον στερέωμα ἐκάλεσεν. εἶτ᾽ εὐθέως οὐρανὸν

1 συμφερόμεναι *V* ἐπικρατῇ *VMa*: ἐπικρατήσῃ *FHKL*, ἐπικρατήσει *I* 3 ἂν εἶρξε *V* ἑκάτερος *D* 5 ἐπαπολυόμενα ***b***, ἐπαπολλύμενα *F* 6 διέζευξαν καὶ om. ***b*** 7 προευαγγελίζηται *M*ʰ μέλλοντα om. *M* 8 ἀνίσχόν (sic) *I* 9 ἐπιγίνηται τῷ ἡλίῳ *M* ἀθρόαν τοῦ om. *D* πράως *Vb*: πραέως ***Ma*** 10 λέγοι *V* 12 εἰδέα *V* 13 ἀσώματα σωμάτων] ἀσωμάτων *M*, ἀσώματα ἀσωμάτων *D* ἐπεὶ *Eus.V*: ἐπειδὴ ***Mab*** 14 ἀνεχώρησεν *Eus.V*: ὑπεχώρησεν ***Mab*** 15 τε om. *V* 16 ὁ ποιῶν] ὁ om. *VM*, καλῶς ποιῶν *Eus.* 17 ἣ λέλεκται *Eus.VF*²: ἢ (ἣ *B*) οὕτως λέλεκται ***Ma***, ἣ λέγεται *F*¹*b* cf. p. 12,28 M. 19 ἱδρυνθεὶς *VFD*, sed in *V* littera ν rursus deleta 20 ἐτελειογονεῖτο *codd.*: ἐτελειουργεῖτο Mang. (Christoph.) 21 δὴ om. *Eus.V* καὶ] κατὰ *M* 22 προσηγόρευσεν *Eus.V*: προσηγόρευκεν ***Mab*** 25 verba καὶ ἀσωμάτῳ — 26 σωματοειδῆ] καὶ αἰσθητῷ τὸν σωματοειδῆ *M* 26 στερέωμα] στερεὸν *Eus.V* εἶτ᾽ εὐθέως οὐρανὸν προσεῖπεν αὐτὸν *V*: εἶτ᾽ εὐθέως οὐρανὸν αὐτὸν *M*, εἶτ᾽ αὐτὸν εὐθέως οὐρανὸν ***ab***

οσεῖπεν αὐτὸν εὐθυβόλως καὶ πάνυ κυρίως, ἤτοι διότι πάντων ὅρος διότι πρῶτος τῶν ὁρατῶν ἐγένετο. ὀνομάζει δὲ καὶ ἡμέραν μετὰ ν γένεσιν αὐτοῦ δευτέραν, ὅλον ἡμέρας διάστημα καὶ μέτρον ἀναθεὶς οὐρανῷ διὰ τὴν ἐν αἰσθητοῖς ἀξίωσίν τε καὶ τιμήν.

11. Μετὰ δὲ ταῦτ' ἐπειδὴ τὸ σύμπαν ὕδωρ εἰς ἅπασαν τὴν ⌈ν ἀνεκέχυτο καὶ διὰ πάντων αὐτῆς ἐπεφοιτήκει τῶν μερῶν, οἷα :ογγιᾶς ἀναπεπωκυίας ἰκμάδα, ὡς εἶναι τέλμα καὶ βαθὺν πηλόν, ιφοτέρων τῶν στοιχείων ἀναδεδευμένων καὶ συγκεχυμένων τρόπον ιράματος εἰς μίαν ἀδιάκριτον καὶ ἄμορφον φύσιν, προστάττει ὁ θεὸς ι μὲν ὕδωρ ὅσον ἁλμυρὸν καὶ ἀγονίας αἴτιον ἔμελλεν ἔσεσθαι σπαρ-ιῖς καὶ δένδρεσιν ἐπισυναχθῆναι συρρυὲν ἐκ τῶν τῆς ἁπάσης γῆς ιαιωμάτων, τὴν δὲ ξηρὰν ἀναφανῆναι, τῆς τοῦ γλυκέος νοτίδος ἐν-τολειφθείσης εἰς διαμονήν· κόλλα γάρ τίς ἐστιν ἡ μεμετρημένη γλυ-:ῖα νοτὶς τῶν διεστηκότων καὶ ὑπὲρ τοῦ μὴ παντάπασιν ἀφαυαν-εῖσαν αὐτὴν ἄγονον καὶ στεῖραν γενέσθαι καὶ ὅπως οἷα μήτηρ μὴ όνον θάτερον εἶδος τροφῆς βρῶσιν ἀλλ' ἑκάτερον ὡς ἂν ἐκγόνοις ρῶσίν τε καὶ πόσιν παρέχῃ. διὸ φλέβας μαστοῖς ἐοικυίας ἐπλημμύρει, ἳ στομωθεῖσαι ποταμοὺς καὶ πηγὰς ἔμελλον ἀναχεῖν. οὐδὲν δ' ἧττον αἱ τὰς ἀφανεῖς ἐνίκμους διαφύσεις εἰς ἅπασαν τὴν ἀρετῶσαν καὶ αθύγειον ἀπέτεινε πρὸς εὐφορίαν ἀφθονωτάτην καρπῶν. ταῦτα δια-

1 προσεῖπεν post κυρίως in *Mab* πάντων ὅρος *Vb* : πάντων ὅρος ἦν *a*, άντων ὅρος ἦν ἤδη *M* 2 ἢ διότι *V* : ἢ ὅτι *ceteri* πρῶτος] μέρος *V* 3 μέτρῳ ντιτιθεὶς *M* 5 ἐπεὶ δὲ *P* τὴν om. *V* 6 ἀνακέχυτο *M* verba καὶ — ερῶν om. *P* 7 σπογγιὰ ἀναπεπωκυῖα *P* ἀναπεπτωκυίας *ABC* (ἴσως ἀνα-:πωκυίας *C*[2] in marg.) ὡς εἶναι τέλμα *Pb* : ὡς εἶναι τέλματα *V*, ὡς εἶναι ὲ τέλμα *ABD*(*C*), ὡς εἶναι τὲ ἅμα *M* verba τέλμα — 8 ἀναδεδευμένων ιm. *C* 8 συγκεχυμένων *VMPb* : συμπεφυρμένων *a* 9 μίαν καὶ ἀδιάκρι-ον *M* ὁ om. *P* 10 verba ὅσον — 11 δένδρεσιν om. *P* ἁλμυρὸν καὶ ἰγονίας *Vb* : ἁλμυρὸν ἄγριον ἀγονίας *M*, ἁλμυρὸν ἄγριον καὶ ἀγονίας *a* 11 συρρυὲν] συνρυέντων *V* 12 τὴν] γῆν *P* 13 ἡ om. *V* γλυκέα *M* 14 ἀφαυανθεῖσαν *VM* : ἀπαυανθεῖσαν *ab* 16 ἀλλ'] ἀλλὰ *a*, om. *M* verba ἑκάτερον ὡς ἂν ἐκγόνοις βρῶσίν τε om. *Ma* 17 πόσιν] πᾶσιν *D* παρέχει *B* μασθοῖς *M* ἐπλημμύρει *ab*, ἐπλημύρει *V* : ἐπλήμμυρεν *MP* 18 στομοθεῖσαι *V* ἀνασχεῖν *a* 19 καὶ ante τὰς om. Turn. ἀνίκμους φύσεις *Ma* ἀρετῶσαν *Va*, ἀροετῶσαν *M* : ἀρόσιμον *FL*, ἀρετῶσαν *HI* in textu, ἀρόσιμον in marg., in *K* om. pr. man. in lacuna, add. 2. man. ἀρετῶσαν, in marg. ἀρόσιμον καὶ βαθύγειον om. *D*

1 de plant. I 330 τὸν δ' αἰθέριον ἐν κύκλῳ τόπον ὠχυροῦτο, τῶν ἐντὸς ὅρον τε καὶ φυλακτήριον αὐτὸν τιθείς, ἀφ' οὗ καὶ ὁ οὐρανὸς ὠνομάσθαι δοκεῖ.

ταξάμενος ὀνόματ' αὐτοῖς ἐτίθετο, τὴν μὲν ξηρὰν καλῶν γῆν, τὸ δ' ἀποκριθὲν ὕδωρ θάλασσαν.

12. Εἶτα διακοσμεῖν ἄρχεται τὴν γῆν· κελεύει γὰρ αὐτὴν χλοηφορεῖν καὶ σταχυηφορεῖν παντοίας βοτάνας ἀνιεῖσαν καὶ πεδία εὔχορτα καὶ πάνθ' ὅσα χιλὸς μὲν κτήνεσιν, ἀνθρώποις δ' ἔμελλεν ἔσεσθαι τροφή· προσέτι μέντοι καὶ τὰς δένδρων ἰδέας ἁπάσας ἀνέφυεν, οὐδὲν οὔτε τῶν τῆς ἀγρίας οὔτε τῶν τῆς ἡμέρου λεγομένης ὕλης παρεὶς· p. 9 M. ἐβεβρίθει δὲ πάντα καρποῖς | εὐθὺς ἅμα τῇ πρώτῃ γενέσει κατ' ἐναντίον τρόπον ἢ τὸν νυνὶ καθεστῶτα· νυνὶ μὲν γὰρ ἐν μέρει γίνεται τὰ γινόμενα χρόνοις διαφέρουσιν, ἀλλ' οὐχ ἀθρόα καιρῷ ἑνί· τίς γὰρ οὐκ οἶδεν ὅτι πρῶτον μέν ἐστι σπορὰ καὶ φυτεία, δεύτερον δὲ τῶν σπαρέντων καὶ φυτευθέντων αὔξησις, ἡ μὲν εἰς τὸ κάτω ῥίζας ἀποτείνουσα οἱονεὶ θεμελίους, ἡ δ' εἰς τὸ ἄνω πρὸς ὕψος αἰρομένων καὶ στελεχουμένων; ἔπειτα βλαστοὶ καὶ πετάλων ἐκφύσεις, εἶτ' ἐπὶ πᾶσι καρποῦ φορά· καὶ πάλιν καρπὸς οὐ τέλειος, ἀλλ' ἔχων παντοίας μεταβολὰς κατά τε τὴν ἐν μεγέθει ποσότητα καὶ τὰς ἐν πολυμόρφοις ἰδέαις ποιότητας· ἀποτίκτεται μὲν γὰρ ὁ καρπὸς ἐοικὼς ἀμερέσι ψήγμασιν ὑπὸ βραχύτητος μόλις ὁρατοῖς, ἅπερ οὐκ ἀπὸ σκοποῦ φαίη τις ἂν εἶναι πρῶτα αἰσθητά· μετὰ δὲ ταῦτ' ἐκ τοῦ κατ' ὀλίγον ἔκ τε τῆς ἐποχετευομένης τροφῆς, ᾗ ἄρδει τὸ δένδρον, κἀκ τῆς εὐκρασίας τῶν πνευμάτων, ἃ ψυχραῖς ἅμα καὶ μαλακωτέραις αὔραις ζωπυρεῖται καὶ τιθηνεῖται, συναύξεται πρὸς ὄγκον ἐπιδιδοὺς τελειότατον· σὺν

1 ἐτίθετο *V*: ἐτίθει *ceteri* 4 καὶ σταχυηφορεῖν om. *M* σταχυηφορεῖν *VFAC*: σταχυοφορεῖν *b*, σταχυφορεῖν *BD* ἀνεῖσαν *M*, ἀνεὶς *V* 5 χειλὸς *V* 6 τὰς τῶν δένδρων *MF* ἰδέας ἁπάσας *VMFAC*: ἁπάσας ἰδέας *b*, ἁπάσας om. *BD* 7 τῶν τῆς ἀγρίας *VABCE* : τῶν om. *MDb* ὕλης λεγομένης *a* παρεῖσα *M* 8 ἐβεβρίθει *MFa*, ἐβεβρείθει *V*: ἐπεβρίθει *b* κατὰ ἐναντίον *V*: καὶ τὸν ἐναντίον *M*, κατὰ τὸν ἐναντίον *ab* 9 νυνὶ καθεστῶτα *VM*: νῦν καθεστῶτα *ab* μέρη *V* γίγνεται *VMAB* 10 γιγνόμενα *VMABC* καιρῷ ἑνί] καιρῷ· εἶεν *M* 11 οἶδεν] εἶδεν *M* τῶν φυτευθέντων καὶ σπαρέντων *M* 12 ἀποτίνουσα *V* 13 καί] ἢ *a* 15 ἔχων *Vb*: ἔχων ἐν ἑαυτῷ *Ma* 17 γὰρ om. *D* ἀμαρέσι *I* 18 φύγμασιν *C* ὁρατοῖς *V* (Mang.): ὁρατός *ceteri* φαίη τις ἂν *V*: ἂν om. *ceteri* 20 ἐποχευομένης *V* ᾗ *b* : ἶν (sic) *V*, ἣν *MF*²*a* 21 ἃ ante ψυχραῖς om. *M* ζωπυρεῖται] ζωοπυρεῖται *M*, πνεῖ, κατὰ μικρὸν ζωπυρεῖται Mang. (Christoph.) 22 συναύξεται *V*: καὶ συναύξεται *ceteri* ἐπιδοὺς *b*

19 sqq. Fragm. II 642 ὕδασι μὲν γὰρ τὴν γῆν καθαίρει, τὸν δ' ὑπὸ σελήνην ἅπαντα χῶρον πνεύμασιν· ἀμφοτέροις δὲ ζῷα καὶ φυτὰ τρέφει καὶ αὔξει καὶ τελειοῖ.

τῷ μεγέθει καὶ τὰς ποιότητας ἀλλάττει, καθάπερ ὑπὸ γραφικῆς :στήμης χρώμασι διαφόροις ποικιλλόμενος.

13. Ἐν δὲ τῇ πρώτῃ γενέσει τῶν ὅλων, καθάπερ ἔφην, ὁ θεὸς :ασαν τὴν τῶν φυτῶν ὕλην ἐκ γῆς ἀνεδίδου τελείαν καρποὺς ἔχου-ν οὐκ ἀτελεῖς ἀλλ' ἀκμάζοντας, εἰς ἑτοιμοτάτην καὶ ἀνυπέρθετον ·ῆσιν καὶ ἀπόλαυσιν ζῴων τῶν αὐτίκα γενησομένων. ὁ μὲν δὴ προσ-ττει τῇ γῇ ταῦτα γεννῆσαι· ἡ δ' ὥσπερ ἐκ πολλοῦ κυοφοροῦσα :ὶ ὠδίνουσα τίκτει πάσας μὲν τὰς σπαρτῶν, πάσας δὲ τὰς δένδρων, ι δὲ καρπῶν ἀμυθήτων ἰδέας. ἀλλ' οὐ μόνον ἦσαν οἱ καρποὶ τροφαὶ ὸοις, ἀλλὰ καὶ παρασκευαὶ πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν, τὰς ;ερματικὰς οὐσίας περιέχοντες, ἐν αἷς ἄδηλοι καὶ ἀφανεῖς οἱ λόγοι ῶν ὅλων εἰσί, δῆλοι καὶ φανεροὶ γινόμενοι καιρῶν περιόδοις· ἐβου-ίθη γὰρ ὁ θεὸς δολιχεύειν τὴν φύσιν ἀπαθανατίζων τὰ γένη καὶ ;ταδιδοὺς αὐτοῖς ἀϊδιότητος· οὗ χάριν καὶ ἀρχὴν πρὸς τέλος ἦγε αὶ ἐπέσπευδε καὶ τέλος ἐπ' ἀρχὴν ἀνακάμπτειν ἐποίει· ἔκ τε γὰρ υτῶν ὁ καρπός, ὡς ἂν ἐξ ἀρχῆς τέλος, καὶ ἐκ καρποῦ τὸ σπέρμα εριέχοντος ἐν ἑαυτῷ πάλιν τὸ φυτόν, ὡς ἂν ἐκ τέλους ἀρχή.

14. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ μετὰ τὴν γῆν τὸν οὐρανὸν ἐποίκιλλε ιακοσμῶν, οὐκ ἐπειδὴ τοῦτον ἐν ὑστέρῳ γῆς ἔταττε, τῇ μὲν ἐλάττονι ·ύσει προνομίαν διδούς, τὴν δὲ κρείττονα καὶ θειοτέραν δευτερείων ;ξιῶν, ἀλλ' εἰς ἔνδειξιν ἐναργεστάτην κράτους ἀρχῆς. προλαβὼν γὰρ :ερὶ τῶν οὔπω γεγονότων | ἀνθρώπων, οἷοι τὰς γνώμας ἔσονται, p. 10 M.

---

7 τῇ γῇ om. *P* ταῦτα τῇ γῇ *M* γεννῆσαι] γενέσθαι *P* 8 ὠδεί-ουσα *V* τὰς σπαρτῶν] τῶν σπαρτῶν *a*, τὰς τῶν σπαρτῶν *P* τὰς δένδρων] τῶν δένδρων *D*, τὰς τῶν δένδρων *P* 9 ἔτι δὲ] καὶ *M*; ἔτι δὲ καρπῶν om. *a* ἀμυθήτων *VPb* : ἀμυθήτους *Ma* τροφὴ *BD* 10 παρασκευὴ *BD* ἀεὶ om. *P* verba τὰς σπερματικὰς — 12 περιόδοις om. *P* 11 περιέχοντες *V*: περιέχουσαι *ceteri* μὲν post ἄδηλοι et δὲ post δῆλοι add. Mang. (Christoph.) 12 γενόμενοι *D* 13 ἀπαθανατίζων *V*: ἀθανατίζων *ceteri* 14 αὐτοῖς] ἀνθρώποις *BD* πρὸς τέλος *VMa*: πρὸς τὸ τέλος *b* 15 ἔσπευδε *Ma* τε] μὲν *M* 16 τέλος *VMFa* : τὸ τέλος *b* καρποῦ *VMa* : καρπῶν *b* 17 περιέχοντος *VMb* : περιέχον *a* πάλιν] πᾶν VM^h τοῦ φυτοῦ *M* ἀρχῆς *M* 18 τῇ ante ἡμέρᾳ add. *D* 19 διακοσμῶν om. *P* γῆς *VPb* : τῆς γῆς *Ma* 21 ἐναργεστάτου *BD* κράτους] καρποὺς *D* 22 οἷοι *Pb* : οἳ *VMa*

---

11 sqq. de plant. I 330 sq. νόμος δ' ὁ ἀΐδιος θεοῦ τοῦ αἰωνίου τὸ ὀχυρώτατον καὶ βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν· οὗτος ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα ταθεὶς δολιχεύει τὸν τῆς φύσεως δρόμον ἀήττητον, συνάγων τὰ μέρη πάντα καὶ σφίγγων· δεσμὸν γὰρ αὐτὸν ἄρρηκτον τοῦ παντὸς ὁ γεννήσας ἐποίει πατήρ.

στοχασταὶ τῶν εἰκότων καὶ πιθανῶν, ἐν οἷς πολὺ τὸ εὔλογον, ἀλλ' οὐχὶ τῆς ἀκραιφνοῦς ἀληθείας, καὶ ὅτι πιστεύσουσι μᾶλλον τοῖς φαινομένοις ἢ θεῷ σοφιστείαν πρὸ σοφίας θαυμάσαντες, κατιδόντες τ' αὖθις τὰς ἡλίου καὶ σελήνης περιόδους, δι' ὧν θέρη, χειμῶνες, ἔαρος καὶ μετοπώρου τροπαί, τῶν ἐκ γῆς ἀνὰ πᾶν ἔτος φυομένων καὶ γιγνομένων ἁπάντων αἰτίας ὑπολήψονται τὰς τῶν κατ' οὐρανὸν ἀστέρων περιπολήσεις, ἵνα μηδενὶ γενητῷ τὰς πρώτας ἀνατιθέναι τινὲς τολμῶσιν ἢ διὰ θράσος ἀναίσχυντον ἢ δι' ἀμαθίαν ὑπερβάλλουσαν, ἀναδραμέτωσαν, φησί, ταῖς διανοίαις ἐπὶ τὴν πρώτην τῶν ὅλων γένεσιν, ὅτε πρὸ ἡλίου καὶ σελήνης παντοῖα μὲν φυτὰ παντοίους δὲ καρποὺς ἤνεγκεν ἡ γῆ, καὶ θεασάμενοι ταῖς διανοίαις ἐλπιζέτωσαν ὅτι καὶ αὖθις οἴσει κατὰ πρόσταξιν τοῦ πατρός, ὅταν αὐτῷ δοκῇ μὴ προσδεηθέντι τῶν κατ' οὐρανὸν ἐκγόνων, οἷς δυνάμεις μὲν ἔδωκεν, οὐ μὴν αὐτοκρατεῖς· οἷα γὰρ ἡνίοχος ἡνιῶν ἢ κυβερνήτης οἰάκων ἐνειλημμένος ἄγει ᾗ ἂν ἐθέλῃ κατὰ νόμον καὶ δίκην ἕκαστα μηδενὸς προσδεόμενος ἄλλου· πάντα γὰρ θεῷ δυνατά.

15. Ἧδ' ἐστὶν αἰτία δι' ἣν προτέρα μὲν ἐβλάστησε καὶ ἐχλοηφόρησεν ἡ γῆ. ὁ δ' οὐρανὸς διεκοσμεῖτο αὖθις ἐν ἀριθμῷ τελείῳ τετράδι, ἣν δεκάδος τῆς παντελείας οὐκ ἂν διαμάρτοι τις ἀφορμὴν

---

1 πολὺ *VMPa* : τὸ πολὺ *b* εὔλογον *A* (α suprascr.), ἄλογον *BD* 2 πιστεύουσι *BD* φαινομένοις *VPb* : φαινομένοις *A* (φθεγγο suprascr.), φθεγγομένοις *MBCD* μᾶλλον τοῖς φ. *VMP* : τοῖς φ. μᾶλλον *ab* 3 ἢ θεῷ] ἦθος *M*, ἢ θεοῦ *D* σοφιστείας *M* 4 χειμὼν *V* 5 ἔαρος καὶ μετοπώρου τροπαί *a* : καὶ om. *b*, καὶ ἔαρος μεθοπώρου (sic) τροπαί *V*, καὶ ἀέρος (sic) καὶ μετοπώρου τροπαί *M* 6 γινομένων *Cb*, γενομένων *F* ὑπολείψονται *C* 8 post τολμῶσιν add. αἰτίας *ab* (et *P*, qui τολμῶσιν αἰτίας τινὲς), omisi αἰτίας cum *V* (et *M*) verba ἢ διὰ θράσος ἀναίσχυντον om. *M* δι' ἁμαρτίαν *M* 9 verba ἀναδραμέτωσαν — 10 ὅτε om. *P* 10 ὅτι *FKL* (Turn.) παντοῖα φοιτὰ καὶ παντοίους καρποὺς ἤνεγκεν *P* παντοῖα] παντοίαις *C* verba μὲν φυτὰ — 11 διανοίαις om. *C* 11 ἐλπισάτωσαν *D* 12 κατὰ] καὶ τὸ *D* μὴ *VM* : μηδὲν *ab* 13 οἷς καὶ δυνάμεις *Ma* 15 ἐνειλημμένος *Mb* : ἐπειλημμένος *VPa* (ἐπιλημμένος *VC*) ἂν] ἐὰν *V*, om. *I* θέλῃ *M*, ἐθέλοι *a* 17 πρότερον *F* καὶ ἐχλοηφόρησεν om. *D* 19 τετράδι διῆν *V* παντελείας *VMa* : παντελοῦς *b* ἀφορμὴν εἶναι λέγων καὶ πηγήν *V* : εἶναι λέγων ἀφορμήν τε καὶ πηγήν *ceteri*

---

14 de migr. Abrah. I 437 τίς ἂν οὖν εἴη πλὴν ὁ λόγος ὁ πρεσβύτερος τῶν γένεσιν εἰληφότων, οὗ καθάπερ οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα. 19 de vit. Mos. II 147 τὸν ἀπὸ μονάδος μέχρι δεκάδος τῆς παντελείας συμπληρούμενον ἀριθμόν. II 148 ἵνα καὶ δεκάδα ἔχωσι τὴν παντέλειαν. de decal. II 183 καὶ πρότερόν γε τῶν κεφαλαιωδεστέρων (νόμων), ὧν εὐθέως ἄξιον θαυμάσαι τὸν ἀριθμὸν δεκάδι τῇ παντελείᾳ περατούμενον.

ιαι λέγων καὶ πηγήν· ὃ γὰρ ἐντελεχείᾳ δεκάς, τοῦτο τετράς, ὡς ιχε, δυνάμει· εἰ γοῦν οἱ ἀπὸ μονάδος ἄχρι τετράδος ἑξῆς συντε- :ῖεν ἀριθμοί, δεκάδα γεννήσουσιν, ἥτις ὅρος τῆς ἀπειρίας τῶν ἀριθ- ῶν ἐστι, περὶ ὃν ὡς καμπτῆρ' εἱλοῦνται καὶ ἀνακάμπτουσι. Περιέχει ἡ τετρὰς καὶ τοὺς λόγους τῶν κατὰ μουσικὴν συμφωνιῶν, τῆς τε ὰ τεττάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν καὶ προσέτι δὶς διὰ χσῶν, ἐξ ὧν σύστημα τὸ τελειότατον ἀπογεννᾶται· τῆς μὲν γὰρ διὰ :ττάρων ὁ λόγος ἐπίτριτος, τῆς δὲ διὰ πέντε ἡμιόλιος, διπλάσιος δὲ ῆς διὰ πασῶν, τετραπλάσιος δὲ τῆς δὶς διὰ πασῶν, οὓς ἅπαντας ἡ :τρὰς ἔχει περιλαβοῦσα, τὸν μὲν ἐπίτριτον ἐν τῷ τέσσαρα πρὸς τρία, ὸν δ' ἡμιόλιον ἐν τῷ | τρία πρὸς δύο, τὸν δὲ διπλάσιον ἐν τῷ δύο p. 11 M. ρὸς ἓν ἢ τέσσαρα πρὸς δύο, τὸν δὲ τετραπλάσιον ἐν τῷ τέσσαρα ρὸς ἕν.

16. Ἔστι δὲ καὶ δύναμις ἄλλη τετράδος λεχθῆναί τε καὶ νοη- ῆναι θαυμασιωτάτη. πρώτη γὰρ αὕτη τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε, ῶν πρὸ αὐτῆς ἀριθμῶν τοῖς ἀσωμάτοις ἀνακειμένων· κατὰ μὲν ·ὰρ τὸ ἓν τάττεται τὸ λεγόμενον ἐν γεωμετρίᾳ σημεῖον, κατὰ δὲ

1 ὃ γὰρ] οἷσ αρ' *V* ἐνδελεχείᾳ *M* 2 γοῦν *VMa* : οὖν *b* οἱ om. *VF* verba ἄχρι τετράδος om. *Ma* ἑξῆς] ἐξ ἧς *VF* 3 ἀριθμῷ *D* δεκάδα] ιεκα *V* τῆς] τις *F* 4 περὶ ὧν *VD* ἐνκαμπτῆρα *B* 5 τε om. *I* 6 τεσ- ιάρων *M* καὶ ante διὰ πασῶν om. *I* 7 τὸ om. *a* γὰρ om. *V* 8 τεσσά- ›ων *M* 9 verba τετραπλάσιος δὲ τῆς δὶς διὰ πασῶν om. *BDb* οὓς ἂν τάντας *Ma* 10 ἔχοι *MD* περιλαβοῦσα *VMFBCD* : παραλαβοῦσα (ε ῒ supra) *A*, παρα- λαβοῦσα *b* τὸ μὲν *ABC*, τὸν μὲν οὖν *M* (γοῦν Mang.) 11 τὸ δ' ἡμιόλιον *Ma* τὸ δὲ διπλάσιον *ABC* 12 ἢ πρὸς ἓν ἢ *V* τὸ δὲ τετραπλάσιον *a* 14 δεχθῆναι *V* 16 πρὸς αὐτῆς *C* 17 σημεῖον *V*: εἶναι σημεῖον *ceteri*

1 de plant. I 347 καλεῖται δὲ τετρὰς καὶ πᾶς, ὅτι τὰ ἄχρι δεκάδος καὶ αὐτὴν δεκάδα περιέχει δυνάμει. 3 de decal. II 184 σχεδὸν γὰρ ἡ ἀπειρία τῶν ἀριθμῶν ταύτῃ (δεκάδι) μετρεῖται. 4 sqq. de vit. Mos. II 152 ἐπειδὴ πάντα ἐν τῇ τετράδι· . . . . καὶ αἱ κατὰ μουσικὴν ἄρισται συμφωνίαι, ἥ τε διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ καὶ ἡ διὰ πέντε ἐν ἡμιολίῳ καὶ ἡ διὰ πασῶν ἐν διπλασίῳ καὶ ἡ δὶς διὰ πασῶν ἐν τετραπλασίῳ. 16 sqq. de decal. II 184 τὸ μὲν γὰρ δυσὶ σημείοις περατούμενόν ἐστι γραμμή, τὸ δ' ἐπὶ δύο διαστατὸν ἐπιφάνεια, ῥυείσης ἐπὶ πλάτος γραμμῆς, τὸ δ' ἐπὶ τρία στερεόν, μήκους καὶ πλάτους βάθος προσλαβόντων, ἐφ' ὧν ἵσταται φύσις· πλείους γὰρ τριῶν διαστάσεις οὐκ ἐγέννησεν. ἀρχέτυποι δὲ τούτων ἀριθμοὶ τοῦ μὲν ἀδιαστάτου σημείου τὸ ἕν, τῆς δὲ γραμμῆς τὰ δύο, καὶ ἐπιφανείας μὲν τὰ τρία, στερεοῦ δὲ τὰ τέσσαρα· ὧν ἡ σύνθεσις, ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεσσάρων, ἀποτελεῖ δεκάδα. de congress. I 540 . . . σημεῖον μέν ἐστιν οὗ μέρος οὐδέν, γραμμὴ δὲ μῆκος ἀπλατές, ἐπιφάνεια δὲ ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, στερεὸν δὲ ὃ τὰς τρεῖς ἔχει διαστάσεις, μῆκος πλάτος βάθος.

τὰ δύο γραμμή· γραμμὴ δ' ἐστὶ μῆκος ἀπλατές· πλάτους δὲ προσγενομένου γίνεται ἐπιφάνεια, ἣ τέτακται κατὰ τριάδα· ἐπιφανείᾳ δὲ πρὸς τὴν τοῦ στερεοῦ φύσιν ἑνὸς δεῖ τοῦ βάθους, ὃ προστεθὲν τριάδι γίνεται τετράς. ὅθεν καὶ μέγα χρῆμα συμβέβηκεν εἶναι τὸν ἀριθμὸν τοῦτον, ὃς ἐκ τῆς ἀσωμάτου καὶ νοητῆς οὐσίας ἤγαγεν εἰς ἔννοιαν ἡμᾶς τριχῇ διαστατοῦ σώματος τῇ φύσει πρῶτον αἰσθητοῦ. ὁ δὲ μὴ συνεὶς τὸ λεγόμενον ἔκ τινος παιδιᾶς εἴσεται πάνυ συνήθους. οἱ καρυατίζοντες εἰώθασι τρία ἐν ἐπιπέδῳ κάρυα προτιθέντες ἐπιφέρειν ἕν, σχῆμα πυραμοειδὲς ἀπογεννῶντες· τὸ μὲν οὖν ἐν ἐπιπέδῳ τρίγωνον ἵσταται μέχρι τριάδος, τὸ δ' ἐπιτεθὲν τετράδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι πυραμίδα γεννᾷ, στερεὸν ἤδη σῶμα. Πρὸς δὲ τούτοις οὐδ' ἐκεῖν' ἀγνοητέον, ὅτι πρῶτος ἀριθμῶν ὁ τέτταρα τετράγωνός ἐστιν ἰσάκις ἴσος, ἰσόμετρον δικαιοσύνης καὶ ἰσότητος, καὶ ὅτι μόνος ἐκ τῶν αὐτῶν καὶ συνθέσει καὶ δυνάμει πέφυκε γεννᾶσθαι, συνθέσει μὲν ἐκ δυοῖν καὶ δυοῖν, δυνάμει δὲ πάλιν ἐκ τοῦ δὶς δύο, πάγκαλόν τι συμφωνίας εἶδος ἐπιδεικνύμενος, ὃ μηδενὶ τῶν ἄλλων ἀριθμῶν συμβέβηκεν· αὐτίκα γοῦν ὁ ἓξ συντιθέμενος ἐκ δυοῖν τριάδων οὐκέτι γεννᾶται πολυπλασιασθεισῶν, ἀλλ' ἕτερος, ὁ ἐννέα. Πολλαῖς δὲ καὶ ἄλλαις κέχρηται δυνάμεσι τετράς, ἃς ἀκριβέστερον κἀν τῷ περὶ αὐτῆς ἰδίῳ λόγῳ

---

1 τὸ δύο *D* post γραμμή cum *Db* omisi quae in ceteris sequuntur glossemata: διότι ῥύσει μὲν ἑνὸς δυάς, ῥύσει δὲ σημείου συνίσταται γραμμή *VEF*², διότι φύσει ἐκ (διὰ *M*) σημείου συνίσταται ἡ γραμμή *Ma* προσγινομένου *BD* 2 ἐπιφανείᾳ scripsi : ἐπιφάνειαι *V*, ἐπιφάνεια *Mab* 3 τοῦ post τὴν om. *F* δεῖ *V* : δεῖται *ab*, δέεται *M* τριάδι *Vab* : τῇ τριάδι *M* 5 ὃς] ὡς *M* εἰς ἔννοιαν ἡμᾶς *VMFa* : ἡμᾶς εἰς ἔννοιαν *b* 6 συνεὶς *V* : συνιεὶς *ceteri* 7 εἰς τὸ *C* τὸ λεγόμενον om. *M* εἴσεται] εὕρεται (sic) *M* οἱ καρυατίζοντες *VPb* : οἱ τὰ κάρυα παίζοντες *Ma* 8 κάρυα ante προτιθέντες in *VP*, ante τρία in *M*, post προτιθέντες in *b*, κάρυα om. *ABD* verba ἐν ἐπιπέδῳ — 9 οὖν om. *C* προτιθέντες *VMPa* : προστιθέντες *b* 9 ἐν om. *V* 11 σχήμασι *VMF* : σχήματι *Pab* στερεὸν *VMPFa* : στερρὸν *b* 12 ὁ τέτταρα] ὅτιπαρα *V* 13 ἰσάκις ἴσος *Mb* : ἴσος om. *a*, ἱκανὸς ἰσάκις ἴσοις *V* ἰσόμετρον δικαιοσύνης *V* : ὃ ἰσόμετρον καὶ δικαιοσύνης *Ma*, μέτρον δικαιοσύνης *b* 15 καὶ δυοῖν om. *I* 17 γοῦν] οὖν *D* συντεθειμένος *MAC* δυεῖν *V* 18 πολυπλασιασθεὶς *a*, πολλαπλασιασθεὶς *M* ἕτερος *VMa* : ὁ ἕτερος *b* 19 δυνάμεσι om. *V* τετράς *Vb* : ἡ τετράς *Ma* κἀν] καὶ ἐν *Vb*, ἐν (καὶ om.) *Ma* ἰδίῳ λόγῳ] λόγῳ ἰδίῳ *BD*, διαλόγῳ *M*

---

12 de plant. I 347 πρεσβύτατός τ' αὖ τετραγώνων ὁ ἀριθμὸς (τέτταρα) ὢν ἐν ὀρθαῖς γωνίαις, ὡς τὸ κατὰ γεωμετρίαν δηλοῖ σχῆμα, ἐξετάζεται· .... ἀνάγκη μέντοι τὰς τοῦ τετραγώνου πλευρὰς ἴσας εἶναι· δικαιοσύνην δὲ ἰσότης τὴν ἔξαρχον καὶ ἡγεμονίδα τῶν ἀρετῶν ἔτεκεν, ὥστε ἰσότητος καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς, χωρὶς τῶν ἄλλων, ἐπιδείκνυται τὸν ἀριθμὸν εἶναι σύμβολον.

ροσυποδεικτέον. ἀπόχρη δὲ κἀκεῖνο προσθεῖναι, ὅτι καὶ τῇ τοῦ αντὸς οὐρανοῦ τε καὶ κόσμου γενέσει γέγονεν ἀρχή· τὰ γὰρ έτταρα στοιχεῖα, ἐξ ὧν τόδε τὸ πᾶν ἐδημιουργήθη, καθάπερ ἀπὸ τηγῆς ἐρρύη τῆς ἐν ἀριθμοῖς τετράδος· καὶ πρὸς τούτοις αἱ ἐτήσιοι ὧραι τέτταρες, αἱ ζῴων καὶ φυτῶν αἰτίαι γενέσεως, τετραχῇ τοῦ νιαυτοῦ διανεμηθέντος εἰς χειμῶνα καὶ ἔαρ καὶ θέρος καὶ μετόπωρον.

17. Τοσαύτης οὖν ἀξιωθέντος ἐν τῇ φύσει προνομίας τοῦ λεχθέντος ἀριθμοῦ, κατὰ τἀναγκαῖον ὁ ποιητὴς διεκόσμει τὸν οὐρανὸν τετράδι παγκάλῳ καὶ θεοειδεστάτῳ κόσμῳ, τοῖς φωσφόροις ἄστροις· εἰδώς τε ὅτι τῶν ὄντων ἄριστον τὸ φῶς ἐστιν, | ὄργανον αὐτὸ τῆς p. 12 M. ἀρίστης τῶν αἰσθήσεων ὁράσεως ἀπέφαινεν· ὅπερ γὰρ νοῦς ἐν ψυχῇ, τοῦτ᾿ ὀφθαλμὸς ἐν σώματι· βλέπει γὰρ ἑκάτερος, ὁ μὲν τὰ νοητά, ὁ δὲ τὰ αἰσθητά· χρεῖος δ᾿ ὁ μὲν νοῦς ἐπιστήμης εἰς τὸ γνωρίσαι τὰ ἀσώματα, ὀφθαλμὸς δὲ φωτὸς εἰς τὴν τῶν σωμάτων ἀντίληψιν, ὃ πολλῶν μὲν καὶ ἄλλων ἀγαθῶν αἴτιον γέγονεν ἀνθρώποις, διαφερόντως δὲ τοῦ μεγίστου, φιλοσοφίας· ὑπὸ γὰρ φωτὸς ἄνω παραπεμφθεῖσα ἡ ὅρασις καὶ κατιδοῦσα φύσιν ἀστέρων καὶ κίνησιν αὐτῶν ἐναρμόνιον, ἀπλανῶν τε καὶ πλανήτων εὖ διατεταγμένας περιφοράς, τῶν μὲν κατὰ ταὐτὰ καὶ ὡσαύτως περιπολούντων, τῶν δ᾿ ἀνομοίως τε καὶ ὑπεναντίως διτταῖς περιόδοις χρωμένων, χορείας τε πάντων

1 προσθεῖναι] δειχθῆναι *BDE* καὶ τῇ *V*: καὶ om. *ab*, καὶ ἡ *M* 2 τε om. *D* γενέσει om. *M* 3 τέσσαρα *b* 4 πηγῆς] γῆς *F* τῆς] τοῖς *CD* τετράδος ἐν ἀριθμοῖς *BD* τούτῳ *M*[h] ἐτήσιαι *b* 5 τέτταρες *VFa*: τέσσαρες *Mb* αἳ ζῴων *b* αἴτιαι *b* 6 μεθόπωρον *V* 8 κατὰ τὸ ἀναγκαῖον *V*: κατ᾿ ἀναγκαῖον *ceteri* 9 τετράδι *VMFa*: ἐν τετράδι *b* φοσφόροις *V* 10 ὄντων] νοητῶν *V* 11 αἰσθήσεως ὁράσεων *V* ἀπέφαινεν *VF*[2]: ἀπέφηνεν *ceteri* ὁ νοῦς *C* ἐν τῇ ψυχῇ *a* 12 τοῦτο ὁ ὀφθαλμὸς *P*, τοῦθ᾿ ὀφθαλμὸς *V* τὰ νοητά *VPb*: τὰ ὄντα νοητά *Ma* ὁ δὲ *VP*: ὁ δ᾿ αὖ *ceteri* 13 χρεῖος *VPb*: χρήζει *Ma* μὲν om. *BD* γνωρίσαι] θεωρῆσαι *F*[2] 14 ὀφθαλμὸς *P*, ὀφθαλμοῖς *V*: ὀφθαλμοὶ *ceteri* τῶν σωματικῶν *P* 15 αἴτιον γέγονεν *VMFAC*: γέγονεν αἴτιον *BD*, γέγονεν om. *b* 16 παραπεμφθεῖσα *VMFa*: πεμφθεῖσα *b* 17 ἡ om. *MAC* ἀστέρων] αὐτῶν *BD* κείνισιν *V* αὐτῶν] ἀστέρων *BD* 18 ἐναρμόνιον ante αὐτῶν *M*, ἐναρμονίαν *F* ἐπιφοράς *BD* 19 κατὰ ταῦτα *VMa* καὶ om. *M* τῶν δὲ ὁμοίως *V* 20 τε ante καὶ om. *F*

1 sqq. de plant. I 347 τάς τε γοῦν τοῦ παντὸς ῥίζας, ἐξ ὧν ὁ κόσμος, τέτταρας εἶναι συμβέβηκε, γῆν ὕδωρ ἀέρα πῦρ· καὶ τὰς ἐτησίους ὥρας ἰσαρίθμους, χειμῶνα καὶ θέρος καὶ τὰς μεθορίους ἔαρ τε καὶ μετόπωρον. 10 de victim. offer. II 263 ὅρασις μὲν φῶς τὸ κάλλιστον ἐν ταῖς οὐσίαις ὁρᾷ. Fragm. II 665 μέρος δ᾿ ἐστὶ τῶν θυρίδων, λέγω δὴ τῶν αἰσθήσεων, ἡ ὅρασις, ἐπεὶ καὶ ψυχῆς μάλιστα συγγενής, ὅτιπερ καὶ τῷ καλλίστῳ τῶν ὄντων, φωτί, οἰκεία καὶ ὑπηρέτης τῶν θείων.

ἐμμελεῖς νόμοις τοῖς μουσικῆς τελείας διακεκοσμημένας, ἄλεκτον ἐμπαρεῖχε τῇ ψυχῇ τέρψιν τε καὶ ἡδονήν· ἡ δ' ἑστιωμένη θεαμάτων ἐπαλλήλων, ἐξ ἑτέρων γὰρ ἦν ἕτερα, πολλὴν ἀπληστίαν εἶχε τοῦ θεωρεῖν· εἶθ', οἷα φιλεῖ, προσπεριειργάζετο, τίς ἡ τῶν δρατῶν δὴ τούτων οὐσία καὶ εἰ ἀγένητοι πεφύκασιν ἢ γενέσεως ἔλαβον ἀρχὴν καὶ τίς ὁ τρόπος τῆς κινήσεως καὶ τίνες αἱ αἰτίαι δι' ὧν ἕκαστ' οἰκονομεῖται. ἐκ δὲ τῆς τούτων ζητήσεως τὸ φιλοσοφίας συνέστη γένος, οὗ τελειότερον ἀγαθὸν οὐκ ἦλθεν εἰς τὸν ἀνθρώπινον βίον.

18. Πρὸς δὴ τὴν τοῦ νοητοῦ φωτὸς ἰδέαν ἐκείνην ἀπιδών, ἣ λέλεκται κατὰ τὸν ἀσώματον κόσμον, ἐδημιούργει τοὺς αἰσθητοὺς ἀστέρας, ἀγάλματα θεῖα καὶ περικαλλέστατα, οὓς ὥσπερ ἐν ἱερῷ καθαρωτάτῳ τῆς σωματικῆς οὐσίας ἵδρυε τῷ οὐρανῷ, πολλῶν χάριν· ἑνὸς μὲν τοῦ φωσφορεῖν, ἑτέρου δὲ σημείων, εἶτα καιρῶν τῶν περὶ τὰς ἐτησίους ὥρας, καὶ ἐπὶ πᾶσιν ἡμερῶν, μηνῶν, ἐνιαυτῶν, ἃ δὴ καὶ μέτρα χρόνου γέγονε καὶ τὴν ἀριθμοῦ φύσιν ἐγέννησεν. οἵαν δ' ἕκαστον παρέχεται τῶν εἰρημένων χρείαν τε καὶ ὠφέλειαν, δῆλον μὲν ἐκ τῆς ἐνεργείας, πρὸς δ' ἀκριβεστέραν κατάληψιν οὐκ ἄτοπον ἴσως καὶ λόγῳ τἀληθὲς ἰχνηλατῆσαι. τοῦ δὴ σύμπαντος χρόνου διανεμηθέντος εἰς δύο τμήματα, ἡμέραν τε καὶ νύκτα, τῆς μὲν ἡμέρας τὸ κράτος ὁ πατὴρ ἀνεδίδου ἡλίῳ οἷα μεγάλῳ βασιλεῖ, τῆς δὲ νυκτὸς σελήνῃ καὶ τῷ πλήθει τῶν ἄλλων ἀστέρων. τὸ δὲ μέγεθος τῆς περὶ τὸν ἥλιον δυνάμεως καὶ ἀρχῆς ἐμφανεστάτην πίστιν ἔχει τὴν λεχθεῖσαν ἤδη· εἷς γὰρ ὢν καὶ μόνος ἰδίᾳ καὶ καθ' αὑτὸν ἥμισυ
p. 13 M. τμῆμα τοῦ σύμπαντος χρόνου | κεκλήρωται τὴν ἡμέραν, οἱ δ' ἄλλοι

1 τοῖς *VM* : τῆς *ceteri* ἄληκτον *Ma* ἐμπαρεῖχε scripsi : παρεῖχεν *V*, ἐμπαρέχει *ceteri* 4 εἶθ'] εἶτα *a* προσπεριηργάζετο *V* δὴ om. *a* 5 εἰ] οἱ *CD* ἔλαβεν *F* 6 αἱ om. *Vb* 7 ζητήσεως *VMFa* : συζητήσεως *b* 9 δὴ] δὲ *BD* ἀπιδὼν om. *V* ἣ] ᾗ *MABC* cf. p. 10,17 11 οὓς om. *Ma* ἱερῷ καθαρωτάτῳ *VMa* : ἱερῷ τῷ καθαρωτάτῳ *b* 12 οὐσίας] ἰδέας F^2 τῶν οὐρανῶν F^1, τὸν οὐρανὸν F^2 πολλῶν χάριν καὶ ἕνεκα δημιουργιῶν *M*, πολλῶν χάριν ἕνεκα δημιουργιῶν *a* 13 εἶτα καὶ καιρῶν *V* 14 ἐτησίας *MF*, αἰτησίους *B* ἡμερῶν, μηνῶν *VMb* : ἡμερῶν, νυκτῶν, μηνῶν *a* 15 μέτρα χρόνου γέγονε *VMFa* : μέτρα γέγονε χρόνου *b* οἵαν] τίνα *M*, ἵνα *a* 16 ἕκαστον παρέχεται *VM*, ἕκαστον παρέχηται *a* : παρέχεται post εἰρημένων *F*, post ὠφέλειαν *b* 17 μὲν om. *V* 19 ἡμέρας τε καὶ νυκτός *F* 20 ἐνεδίδου *M* ἡλίῳ *VMb* : τῷ ἡλίῳ *a* 21 σελήνῃ *codd.* : τῇ σελήνῃ Mang. τῶν ἄλλων ἀστέρων *b* : τῶν ἄλλων om. *V*, ἄλλων om. *Ma* 22 δυνάμεως *Vb* : δυνάμεώς τε *Ma* 23 κατ' αὐτὸν *M* 24 χρόνου *Vb* : χρόνου καὶ κόσμου *MAC*, κόσμου καὶ χρόνου *BD*

7 Plat. Tim. 47a . . . ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν.

:άντες μετὰ σελήνης θάτερον ὃ κέκληται νύξ· καὶ τοῦ μὲν ἀνατεί-.αντος, αἱ φαντασίαι τῶν τοσούτων ἀστέρων οὐκ ἀμαυροῦνται μόνον, :λλὰ καὶ ἀφανίζονται τῇ τοῦ φέγγους ἀναχύσει, καταδύντος δέ, τὰς δίας ἄρχονται διαφαίνειν ἀθρόοι ποιότητας.

19. Γεγόνασι δ', ὅπερ αὐτὸς εἶπεν, οὐ μόνον ἵνα φῶς ἐκπέμ-ιωσιν ἐπὶ γῆν, ἀλλὰ καὶ ὅπως σημεῖα μελλόντων προφαίνωσιν· ἢ γὰρ ἰνατολαῖς αὐτῶν ἢ δύσεσιν ἢ ἐκλείψεσιν ἢ πάλιν ἐπιτολαῖς ἢ ἀπο-ιρύψεσιν ἢ ταῖς ἄλλαις περὶ τὰς κινήσεις διαφοραῖς ἄνθρωποι τὰ ἰποβησόμενα στοχάζονται, καρπῶν φορὰς καὶ ἀφορίας, ζῴων γενέσεις ιαὶ φθοράς, αἰθρίας καὶ νεφώσεις, νηνεμίας καὶ βίας πνευμάτων, ποταμῶν πλημμύρας καὶ κενώσεις, θαλάττης ἠρεμίαν καὶ κλύδωνα, ὡρῶν τῶν ἐτησίων ὑπαλλαγὰς ἢ θέρους χειμαίνοντος ἢ χειμῶνος φλέγοντος ἢ ἔαρος μετοπωρίζοντος ἢ μετοπώρου ἐαρίζοντος. ἤδη δὲ καὶ κλόνον καὶ σεισμὸν γῆς ἐκ τῶν κατ' οὐρανὸν κινήσεων στοχασμῷ προεσήμηνάν τινες καὶ μυρί' ἄλλα τῶν ἀηθεστέρων, ὡς ἀψευδέστατα λελέχθαι ὅτι γεγόνασιν εἰς σημεῖα οἱ ἀστέρες, προσέτι μέντοι καὶ εἰς καιρούς· καιροὺς δὲ τὰς ἐτησίους ὥρας ὑπείληφεν εἶναι, καὶ μήποτ' εἰκότως· ἔννοια γὰρ καιροῦ τίς ἂν εἴη πλὴν χρόνος κατορθώσεως; αἱ δ' ὧραι πάντα τελεσφοροῦσι καὶ κατορθοῦσι, σπορὰς καὶ φυτείας καρπῶν καὶ ζῴων γενέσεις τε καὶ αὐξήσεις. γεγόνασι δὲ καὶ πρὸς

---

1 σελήνης εἰς θάτερον *ACD*, σελήνην εἰς θάτερον *MB* κέκληται] κεκλήρωται *F*[1]*ABC* 3 φέγγους] φωτὸς *Ma* 4 ἰδίας *b*, ἰδίους *V*[h] : ἰδίας ἐπιφανείας *Ma* ποιότητας *VACb* : καὶ ποιότητας *M*, καὶ τὰς ποιότητας *BD* 5 ὅπερ] ὥσπερ *M* 6 ἐπὶ γῆν *VMFa* : ἐπὶ τὴν γῆν *b* verba μελλόντων προφαίνωσιν· ἢ γὰρ om. *BD* προφαίνωσιν] προφαίνωσι καὶ μηνῶν καὶ ἐνιαυτῶν ἀριθμοὺς καὶ (καὶ om. *M*) ζῴων ἐμψύχων *MAC* 7 ἢ ἐκλείψεσιν *VMa* : καὶ ἐκλείψεσιν *b* verba ἢ πάλιν ἐπιτολαῖς ἢ ἀποκρύψεσιν om. *M* ἢ ἀποκρύψεσιν scripsi: ἢ ἐπικρύψεσιν *V*, καὶ ἐπικρύψεσιν *ab* cf. p. 28,19 M. 8 διαφορὰς *D* 9 ζῴων τὲ γενέσεις *VMa* 10 αἰθρίας τὲ καὶ *C* 11 πλημύρας *V* ἐρημίαν *V* 12 ὡρῶν] ὀρῶν *V* χειμαίνοντος *Vb* : χειμάζοντος *Ma* 13 δὲ om. *BD* 14 καὶ ante κλόνον om. *F* στοχασμῶν *F* 15 ἄλλων *D* ἀηθεστέρων Markland : ἀληθεστέρων *codd.* 16 γεγόνασιν εἰς σημεῖα *V*, γεγόνασιν εἰς σημεῖον *M* : εἰς σημεῖα γεγόνασιν *a b* cf. LXX 17 αἰτησίους *V* 18 τίς] τίνος *F* 19 αἱ δ' ὧραι] ἐν ᾧ ὧραι *M* τελεσφοροῦσαι κατορθοῦσι *VM* σπορὰς καὶ φυτείας *b* : καὶ om. *VMa* 20 καὶ ante ζῴων om. *BD* τε om. *F*

---

6 sqq. de monarch. II 226 σοφοὶ δ' ἄνδρες καὶ μυρί' ἄλλ' ἄττα παρατηρήσαντες ἀνεγράφαντο ἐκ τῶν οὐρανίων σημειωσάμενοι νηνεμίας καὶ πνευμάτων βίας, φορὰς καὶ ἀφορίας καρπῶν, καὶ ἀνειμένα καὶ φλογωδέστατα θέρη, χειμῶνας ἐξαισίους καὶ ἐαρίζοντας, αὐχμοὺς καὶ ἐπομβρίας, εὐγονίας ζῴων καὶ φυτῶν καὶ τοὐναντίον ἑκατέρων ἀγονίας καὶ ὅσα τοιουτότροπα.

μέτρα χρόνων· ἡλίου γὰρ καὶ σελήνης καὶ τῶν ἄλλων τεταγμέναις περιόδοις ἡμέραι καὶ μῆνες καὶ ἐνιαυτοὶ συνέστησαν. εὐθύς τε τὸ χρησιμώτατον, ἡ ἀριθμοῦ φύσις, ἐδείχθη, χρόνου παραφήναντος αὐτήν· ἐκ γὰρ μιᾶς ἡμέρας τὸ ἓν καὶ ἐκ δυοῖν τὰ δύο καὶ ἐκ τριῶν τὰ τρία καὶ ἐκ μηνὸς τὰ τριάκοντα καὶ ἐξ ἐνιαυτοῦ τὸ ἰσάριθμον ταῖς ἐκ δώδεκα μηνῶν ἡμέραις πλῆθος καὶ ἐξ ἀπείρου χρόνου ὁ ἄπειρος ἀριθμός. εἰς τοσαύτας καὶ οὕτως ἀναγκαίας διατείνουσιν ὠφελείας αἱ τῶν κατ' οὐρανὸν φύσεις τε καὶ κινήσεις ἀστέρων· εἰς πόσα δ' ἄλλα φαίην ἂν ἔγωγε τῶν ἡμῖν μὲν ἀδηλουμένων — οὐ γὰρ πάντα τῷ θνητῷ γένει γνώριμα —, πρὸς δὲ τὴν τοῦ ὅλου συνεργούντων διαμονήν, ἃ θεσμοῖς καὶ νόμοις, οὓς ὥρισεν ὁ θεὸς ἀκινήτους ἐν τῷ παντί, συμβαίνει πάντη τε καὶ πάντως ἐπιτελεῖσθαι.

20. Γῆς δὲ καὶ οὐρανοῦ διακοσμηθέντων τοῖς προσήκουσι κόσμοις, τῆς μὲν τριάδι, τοῦ δ' ὡς ἐλέχθη τετράδι, τὰ θνητὰ γένη ζῳοπλαστεῖν ἐνεχείρει, τὴν ἀρχὴν ἀπὸ τῶν ἐνύδρων ποιούμενος ἡμέρα
p. 14 M. | πέμπτῃ, νομίσας οὐδὲν οὕτως ἕτερον ἑτέρῳ συγγενὲς ὡς ζῴοις πεντάδα. διαφέρει γὰρ ἔμψυχα ἀψύχων οὐδενὶ μᾶλλον ἢ αἰσθήσει· πενταχῇ δὲ τμητὸν αἴσθησις, εἰς ὅρασιν, εἰς ἀκοήν, εἰς γεῦσιν, εἰς ὄσφρησιν, εἰς ἀφήν· ἑκάστῃ μέντοι προσένειμεν ὁ ποιῶν καὶ ἐξαι-

---

1 μέτρον *F* ἄλλων ἀστέρων coni. Mangey 4 καὶ ante ἐκ δυοῖν om. *BD* 5 ἰσάριθμον] εἰς ἀριθμὸν *M* 7 διατείνουσιν] ἀνατείνουσιν *F* cf. p. 27,26 M. 8 κατ' οὐρανῶν *D* 11 καὶ νόμοις om. *I* 12 συμβαίνει *VMF*: συμβαίνειν *ab* πάντοτε *F* ἐπιτελεῖται *a* an scrib. ἀποτελεῖσθαι? cf. p. 33,3 M. 14 γένει *A* 16 ἕτερον οὕτως ἑτέρου *F*, οὕτω στερρὸν ἑτέρῳ *M*, οὕτως om. *a* 17 διαφέρειν *AC* γὰρ] δὲ *M* 18 τμητὸν *Vb* : διαιρετὸν *Ma* ὅρασιν] ὁρᾶν *D* εἰς ἀκοήν, εἰς γεῦσιν, εἰς ὄσφρησιν *VMa* : εἰς ubique om. *b* 19 εἰς ἀφήν *VMa* : καὶ εἰς ἀφήν *FHIK*, καὶ ἀφήν *L edd.* ὁ ποιῶν] ὁ θεὸς ποιῶν *D*, ὁποίων *M* καὶ ante ἐξαιρέτους om. *M*, eius loco add. περὶ αἰσθήσεων ζῴων διαθέσεις ὧν, verba

---

1 sqq. de monarch. II 226 ἡμέρας καὶ νύκτας, μῆνάς τε καὶ ἐνιαυτοὺς καὶ συνόλως χρόνον τίς ἀνέδειξεν ὅτι μὴ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων ἐναρμόνιοι καὶ παντὸς λόγου κρείττους περιφοραί; τίς δὲ τὴν τοῦ ἀριθμοῦ φύσιν ὅτι μὴ τὰ λεχθέντα κατὰ τὰς τῶν μερῶν τοῦ χρόνου συνθέσεις; Plat. Tim. 47a νῦν δ' ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δ' ἔννοιαν περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν. 17 sqq. de plant. I 349 καὶ διὰ τοῦτο μέντοι τὸν καρπὸν τοῦ πέμπτου ἡμῖν ἀνατίθησιν, ὅτι αἰσθήσεως πεντὰς ἀριθμὸς οἰκεῖος καὶ εἰ δεῖ τἀληθὲς εἰπεῖν τὸ τρέφον τὸν νοῦν ἡμῶν ἐστιν αἴσθησις, ἢ δι' ὀφθαλμῶν τὰς χρωμάτων καὶ σχημάτων ποιότητας εὐτρεπίζουσα ἢ δι' ὤτων παντοδαπὰς τὰς τῶν φωνῶν ἰδιότητας ἢ διὰ μυκτήρων ὀσμὰς ἢ χυλοὺς διὰ στόματος ἢ μαλακότητας εὐενδότους καὶ σκληρότητας ἀντιτύπους ἢ λειότητας καὶ τραχύτητας ⟨ψυχρότητάς⟩

ἔτους ὕλας καὶ κριτήριον ἴδιον, ᾧ δικάσει τὰ ὑποπίπτοντα· χρώματα ὲν ὅρασις, φωνὰς δ' ἀκοή, χυλοὺς δὲ γεῦσις, καὶ ὄσφρησις ἀτμούς, αλακότητας δὲ καὶ σκληρότητας καὶ ὅσα θερμὰ ἢ ψυχρὰ λειότητάς ε καὶ τραχύτητας ἁφή. παντοῖα οὖν ἰχθύων γένη καὶ κητῶν κελεύει υνίστασθαι κατὰ τόπους, διαφέροντα καὶ τοῖς μεγέθεσι καὶ ταῖς :οιότησιν· ἄλλα γὰρ ἐν ἄλλοις πελάγεσιν, ἔστι δ' ὅτε καὶ ταὐτά· :λὴν οὐ πανταχοῦ πάντα διεπλάττετο, καὶ μήποτ' εἰκότως· χαίρει άρ τὰ μὲν τεναγώδει καὶ οὐ πάνυ βαθείᾳ θαλάττῃ, τὰ δ' ὑποδρό- ιοις καὶ λιμέσι μήτ' ἐπὶ γῆν ἀνέρπειν μήτε πόρρω γῆς ἐπινήχεσθαι ὐνάμενα, τὰ δὲ κατὰ μέσον καὶ βαθὺ πέλαγος διαιτώμενα τὰς ɾροκεχυμένας ἄκρας ἢ νήσους ἢ πέτρας ἐκτρέπεται· καὶ τὰ μὲν :ὐδίᾳ καὶ γαλήνῃ σφριγᾷ, τὰ δὲ κλύδωνι καὶ κυματώσει· ταῖς γὰρ ɪυνεχέσι πληγαῖς γυμναζόμενα καὶ βίᾳ τὴν φορὰν ἀντωθοῦντα κρα- :αιότερά τ' ἐστὶ καὶ πιαίνεται μᾶλλον. εὐθὺς δὲ καὶ τὰ γένη τῶν ττηνῶν ἐδημιούργει ὡς ἀδελφὰ τῶν καθ' ὕδατος — ἑκάτερα γὰρ ηκτά —, μηδεμίαν ἰδέαν τῶν ἀεροπόρων ἀτελῆ καταλιπών.

21. Ἤδη δ' ὕδατος καὶ ἀέρος τὰ προσήκοντα τῶν ζῴων γένη καθάπερ τινὰ κλῆρον οἰκεῖον ἀπειληφότων, πάλιν ἐκάλει τὴν γῆν εἰς τὴν τοῦ ὑπολειφθέντος μέρους γένεσιν — ὑπολέλειπτο δὲ μετὰ τὰ φυτὰ ζῴων τὰ χερσαῖα — καί φησιν· „ἐξαγαγέτω ἡ γῆ κτήνη καὶ θηρία καὶ ἑρπετὰ καθ' ἕκαστον γένος.“ ἡ δὲ τὰ προσταχθέντ' αὐτίκ' ἀνίησι,

περὶ αἰσθήσεων ζῴων διαθέσεις (ante καί) add. etiam *a* 1 τὰ om. *C* 2 ἡ ὅρασις *codd.* : ἡ expunxi χυλοὺς *VMF* : χιλοὺς *a b* δ' ἡ γεῦσις *a* καὶ ὄσφρησις ἀτμούς *VMa* : ἀτμοὺς ὄσφρησις *b*, ἀτμοὺς δὲ ὄσφρησις *edd.* 3 δὲ om. *F* ἢ ψυχρὰ *VMa* : καὶ ψυχρὰ *b* 4 κητῶν] κτηνῶν *M* 5 δια- φέροντα *Ma* : διαφέροντας *V*, διαφερόντων *b* 6 ταῦτα V^h, τὰ αὐτά *Ma* 8 τεναγώδει] τιναγώδει *V*, τενάγει *M*, ἐν τεναγώδει *a b* 9 ἐπὶ γῆς *F* νήχεσθαι *F* 11 προσκεχυμένας M^h ἄκρας ἢ] ἀκραγῆ *V* ἐκτρέπεσθαι *a* 12 κλύδωνι *Vb* : ἀφρῷ τε καὶ κλύδωνι *Ma* 13 καὶ om. *F* φορὰν] φθορὰν *L* ἀντωθοῦντα *b* : ἀντανωθοῦντα *V*, ἀνωθοῦντα *Ma* κραταιότερά τέ ἐστι *VMa*, κραταιότερά ἐστι *HIK* : κρατερά τ' ἐστὶ *F*, κρατερώτερά ἐστι *L* 14 ἑκάτερα νηκτὰ ante καὶ τὰ γένη add. *M* 16 ἀτελῆ *VM* : ὡς ἀτελῆ *ceteri* 17 ἤδη δ' ὕδατος] καὶ δι' ὕδατος *M* γένη] δύο γένη *BD* 19 ὑπο- λέλειπτο VF^1ABC : ὑπελέλειπτο F^2Db, ὑπελείπετο *M* 20 τὰ om. *D* φησιν] φη in versus clausula *V* 21 τὰ προσταχθέντα *E* (teste Mangeio): τὸ προσταχθὲν *ceteri* 36 αὐτίκα *Vb* : αὐτίκα ποιεῖ καὶ εὐθὺς *Ma* ἀνίησι] ἀνείησι *V*, ἄνεισι *M*

τ' αὖ καὶ θερμότητας διὰ τῆς ἀνὰ πᾶν τὸ σῶμα σκιδναμένης δυνάμεως ἣν ἔθος ὀνομάζειν ἁφήν. 13 de somn. I 678 τὰς περὶ ψυχὴν δυνάμεις ἀντωθοῦσι πρὸς τἀναντία. de vit. Mos. II 123 ὥσπερ ἐξ ἐναντίας βίᾳ τινὸς ἀντωθοῦντος. de concup. II 354 ὡς ὠθούμενά τ' ἀντωθεῖν καὶ διωκόμενα ἀντεπιτρέχειν.

τῇ τε κατασκευῇ διαφέροντα καὶ ταῖς ῥώμαις καὶ ταῖς ἐνυπαρχούσαις βλαπτικαῖς ἢ ὠφελητικαῖς δυνάμεσιν. Ἐπὶ δὲ πᾶσιν ἐποίει τὸν ἄνθρωπον· ὃν δὲ τρόπον, μικρὸν ὕστερον ἐρῶ πρότερον ἐκεῖνο δηλώσας ὅτι παγκάλῳ τῷ τῆς ἀκολουθίας εἱρμῷ κέχρηται, καθ' ἣν ὑφηγήσατο ζῳογονίαν. ψυχῆς γὰρ ἡ μὲν ἀργοτάτη καὶ ἥκιστα τετυπωμένη τῷ γένει τῶν ἰχθύων προσκεκλήρωται, ἡ δ' ἀκριβεστάτη καὶ κατὰ πάντ' ἀρίστη τῷ τῶν ἀνθρώπων, ἡ δ' ἀμφοῖν μεθόριος τῷ τῶν χερσαίων καὶ ἀεροπόρων· αὕτη γὰρ αἰσθητικωτέρα μέν ἐστι τῆς ἐν ἰχθύσιν,
p. 15 M. ἀμυδροτέρα δὲ τῆς ἐν ἀνθρώποις. διὸ | τῶν ἐμψύχων πρώτους ἐγέννησεν ἰχθύας πλέον μετέχοντας σωματικῆς ἢ ψυχικῆς οὐσίας, τρόπον τινὰ ζῷα καὶ οὐ ζῷα, κινητὰ ἄψυχα, πρὸς αὐτὸ μόνον τὴν τῶν σωμάτων διαμονὴν παρασπαρέντος αὐτοῖς τοῦ ψυχοειδοῦς, καθάπερ φασὶ τοὺς ἅλας τοῖς κρέασιν, ἵνα μὴ ῥᾳδίως φθείροιντο· μετὰ δὲ τοὺς ἰχθύας τὰ πτηνὰ καὶ χερσαῖα· ἤδη γὰρ ταῦτά γ' αἰσθητικώτερα καὶ διὰ τῆς κατασκευῆς ἐμφαίνοντα τρανοτέρας τὰς τῆς ψυχώσεως ἰδιότητας· ἐπὶ δὲ πᾶσιν, ὡς ἐλέχθη, τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχῆς τινα ψυχὴν καθάπερ κόρην ἐν ὀφθαλμῷ· καὶ γὰρ ταύτην οἱ τὰς φύσεις τῶν πραγμάτων ἀκριβέστερον ἐρευνῶντες ὀφθαλμοῦ λέγουσιν ὀφθαλμὸν εἶναι.

22. Τότε μὲν οὖν ἅμα πάντα συνίστατο. συνισταμένων δ' ὁμοῦ πάντων, ἡ τάξις ἀναγκαίως λόγῳ ὑπεγράφετο διὰ τὴν ἐσομένην αὐτοῖς ἐξ ἀλλήλων γένεσιν. ἐν δὲ τοῖς κατὰ μέρος γινομένοις τάξις ἥδ' ἐστίν,

4 παγκάλως *Ma*, πᾶν καλῷ *V* 5 ψυχῆς *Vb* : ψυχὴ *Ma* 6 κατὰ τὰ πάντα *A* 7 τῷ] τῇ (utroque loco) *VMb* τῶν ante χερσαίων om. *M* 8 τῆς] τοῖς *C* 9 τῆς] τοῖς *M* πρῶτον *M* 10 ἰχθύας *V* : ἰχθῦς *ceteri* 11 καὶ om. *V* ἀκίνητα *M* αὐτὸ *codd.* : αὐτὴν Turn. 12 παρασπέροντος *BD* 13 φησὶ τοὺς ἀλέστοις κρέασιν *M* ἐν τοῖς κρέασιν *V* φθείροιντο *Vb* : διαφθείροιντο *a*, διαφθείροιτο *M* 14 ἰχθύας *VMa* : ἰχθῦς *b* καὶ τὰ χερσαῖα *a* ἤδει *F* γ' om. *VMa* 15 τρανωτέρας *ABC*, τρανοτέρας om. *b* (habet *F*) ψυχώσεως] ψυχῆς *F* 16 τὸ ἀνθρωπίνον (sic) *F*[2] νοῦν] νόῳ *D* 17 ψυχῆς *VM* : ψυχῇ *a b* κόριν *V* 20 συνίσταντο *Ma* 21 ἀναγκαίως *VMFa* : ἀναγκαίῳ *b* 22 μέρους *I* ἥδ' ἐστίν *VMa* : ἥδε γε ἐστίν *b*

16 sqq. quis rer. div. her. I 480 ψυχὴ διχῶς λέγεται, ἥ τε ὅλη καὶ τὸ ἡγεμονικὸν αὐτῆς μέρος, ὃ κυρίως εἰπεῖν ψυχὴ ψυχῆς ἐστιν, καθάπερ ὀφθαλμὸς ὅ τε κύκλος σύμπας καὶ τὸ κυριώτατον μέρος τὸ ᾧ βλέπομεν. quod deus sit immut. I 279 ἐξαίρετον οὗτος (ὁ ἄνθρωπος) τοίνυν γέρας ἔλαχε διάνοιαν, ἣ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἴωθε καταλαμβάνειν· καθάπερ γὰρ ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικὸν ὄψις ἐστίν, ἐν δὲ τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν τρόπον καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον ὁ νοῦς· ψυχῆς γὰρ ὄψις οὗτος.

ρχεσθαι μὲν ἀπὸ τοῦ φαυλοτάτου τὴν φύσιν, λήγειν δ' εἰς τὸ πάνων ἄριστον· τί δὲ τοῦτ' ἐστί, δηλωτέον. τὸ σπέρμα τῶν ζῴων γενέεως ἀρχὴν εἶναι συμβέβηκε· ταῦθ' ὡς ἔστι φαυλότατον ἐοικὸς ἀφρῷ, εωρεῖται· ἀλλ' ὅταν εἰς τὴν μήτραν καταβληθὲν ἐνστηρίσῃ, κίνησιν ὐθὺς λαβὸν εἰς φύσιν τρέπεται· φύσις δὲ βέλτιον σπέρματος, ἐπεὶ ιαὶ κίνησις ἠρεμίας ἐν γενητοῖς· ἡ δ' οἷα τεχνίτης ἢ κυριώτερον ἰπεῖν ἀνεπίληπτος τέχνη ζῳοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ οῦ σώματος μέλη καὶ μέρη διανέμουσα, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν· τὴν γὰρ τοῦ λογισμοῦ τανῦν ὑπερθετέον διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι θεῖον καὶ ἀΐδιον ὄντα· οὐκοῦν ἤρξατο μὲν ἀπὸ σπέρματος εὐτελοῦς ἡ φύσις, ἔληξε δ' εἰς τὸ τιμιώτατον, τὴν ζῴου καὶ ἀνθρώπου κατασκευήν. ταὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τῆς τοῦ παντὸς γενέσεως συμβέβηκεν· ἡνίκα γὰρ ζῷα διαπλάττειν ἔδοξε τῷ δημιουργῷ, τὰ μὲν πρῶτα τῇ τάξει φαυλότερά πως ἦν, ἰχθύες, τὰ δ' ὕστατα ἄριστα, ἄνθρωποι, τὰ δ' ἄλλα μέσα τῶν ἄκρων, ἀμείνω μὲν τῶν προτέρων, χείρω δὲ τῶν ὑστέρων, χερσαῖα καὶ πτηνά.

23. Μετὰ δὴ τἄλλα πάντα, καθάπερ ἐλέχθη, τὸν ἄνθρωπόν φησι γεγενῆσθαι κατ' εἰκόνα θεοῦ καὶ καθ' ὁμοίωσιν. πάνυ καλῶς, ἐμφερέστερον γὰρ οὐδὲν γηγενὲς ἀνθρώπου θεῷ. τὴν δ' ἐμφέρειαν μηδεὶς εἰκαζέτω σώματος χαρακτῆρι· οὔτε γὰρ ἀνθρωπόμορφος ὁ θεὸς οὔτε θεοειδὲς τὸ ἀνθρώπειον | σῶμα. ἡ δ' εἰκὼν λέλεκται κατὰ p. 16 M.
τὸν τῆς ψυχῆς ἡγεμόνα νοῦν· πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον

---

3 εἶναι] εἰ *D* 4 ἐνστηρίσῃ *a b*, στηρίσει *V*: ἐνστήριξιν ἢ *M* 5 λαβὼν *VDI* βέλτιον *VM*: βελτίων *a b* σπέρματος βελτίων *BD* 6 ἐν γενητοῖς *Vb*: ἐν γενητοῖς γενητόν *M*, ἐν γεννητοῖς γεννητόν *a* ἡ δ' οἷα] ἢ οἷα ἐνεργεῖ *M* τεχνίτης] τέχνη τις *V* κυριώτερος *D* 8 μέρη καὶ μέλη *MFBD* διανεμοῦσαι *V* 9 τε om. *Ma* 11 ἐπεῖσιναι (sic) *V* καὶ ἀΐδιον om. *I* 12 τημιώτατον *V* ζῴου *VHIKa*: τοῦ ζῴου *MFL* 13 ταῦτα δὴ ταῦτα *M* δὴ *codd.*: δὲ Mang. τῆς om. *D* 14 ζῷα om. *b* (habet *F*) 15 ὕστερα *M* 16 ἄκρων] ἀγρίων *D* μὲν] μὲν οὖν *a* 17 ὑστέρων] ἑτέρων *V* 18 καθάπερ ἐλέχθη om. *P* 19 γεγενῆσθαι κατ' εἰκόνα θεοῦ *VM*: γενέσθαι κατ' εἰκόνα θεοῦ *P*, κατ' εἰκόνα θεοῦ γενέσθαι *F*, κατ' εἰκόνα γενέσθαι θεοῦ *a*, κατ' εἰκόνα γενέσθαι *b*; γενέσθαι om. *D*, θεοῦ om. *b* 20 ἐμφερέστερον] ἐμφανέστερον *a* 21 χαρακτῆρι *VMPb*: χαρακτῆρσιν *a* οὐ γὰρ *P* 22 οὔτε] οὔτε δὲ *M* ἀνθρώπειον *V*: ἀνθρώπινον *ceteri* λέγεται *P* 23 τὸν] τὴν *D* τὸν ante τῶν om. *BD* πρὸς γὰρ ἐν αὐτῷ τὸν ὅλον ἐκίνει ὡς ἀρχέτυπον ὡς ἐν ἑκάστῳ *M* ἐκείνων *I*, ἐκείνων *H*

---

5 Leg. alleg. I 71 ἔστι δ' ἡ φύσις ἕξις ἤδη κινουμένη.

ὡς ἂν ἀρχέτυπον ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἀπεικονίσθῃ, τρόπον τινὰ θεὸς ὢν τοῦ φέροντος καὶ ἀγαλματοφοροῦντος αὐτόν· ὃν γὰρ ἔχει λόγον ὁ μέγας ἡγεμὼν ἐν ἅπαντι τῷ κόσμῳ, τοῦτον ὡς ἔοικε καὶ ὁ ἀνθρώπινος νοῦς ἐν ἀνθρώπῳ· ἀόρατός τε γάρ ἐστιν αὐτὸς πάνθ' ὁρῶν καὶ ἄδηλον ἔχει τὴν οὐσίαν τὰς τῶν ἄλλων καταλαμβάνων· καὶ τέχναις καὶ ἐπιστήμαις πολυσχιδεῖς ἀνατέμνων ὁδοὺς λεωφόρους ἁπάσας διὰ γῆς ἔρχεται καὶ θαλάττης τὰ ἐν ἑκατέρᾳ φύσει διερευνώμενος· καὶ πάλιν πτηνὸς ἀρθεὶς καὶ τὸν ἀέρα καὶ τὰ τούτου παθήματα κατασκεψάμενος ἀνωτέρω φέρεται πρὸς αἰθέρα καὶ τὰς οὐρανίους περιόδους, πλανήτων τε καὶ ἀπλανῶν χορείαις συμπεριποληθεὶς κατὰ τοὺς μουσικῆς τελείας νόμους, ἑπόμενος ἔρωτι σοφίας ποδηγετοῦντι, πᾶσαν τὴν αἰσθητὴν οὐσίαν ὑπερκύψας, ἐνταῦθ' ἐφίεται τῆς νοητῆς· καὶ ὧν εἶδεν ἐνταῦθ' αἰσθητῶν ἐν ἐκείνῃ τὰ παραδείγματα καὶ τὰς ἰδέας θεασάμενος, ὑπερβάλλοντα κάλλη, μέθῃ νηφαλίῳ κατασχεθεὶς ὥσπερ οἱ κορυβαντιῶντες ἐνθουσιᾷ, ἑτέρου γεμισθεὶς ἱμέρου καὶ πόθου βελτίονος, ὑφ' οὗ πρὸς τὴν ἄκραν ἁψῖδα παραπεμφθεὶς τῶν νοητῶν ἐπ' αὐτὸν ἰέναι δοκεῖ τὸν μέγαν βασιλέα· γλιχομένου δ' ἰδεῖν, θείου φωτὸς ἄκρατοι καὶ ἀμιγεῖς αὐγαὶ

1 ἐξεικονίσθη *BD* 4 αὐτὸς om. *M* 5 πάνθ'] τὰ πάντα *V*, ἅπαντα *M*, πάντα *ceteri* 6 καὶ ante τέχναις om. *M* πολυσχεδεῖς *VMF* διατέμνων *a* 7 θαλάσσης *M* 8 καὶ πάλιν om. *D* πτηνὸς] ἤ τινος *D* 9 κατασκευασάμενος *F* 10 οὐρανίους] οὐρανοῦ *V*, τοῦ οὐρανοῦ *M* τε om. *F* χορείαις *VMFa*: χορείας *b* συμπεριπλανηθεὶς *M* 11 μουσικῆς *VMF*: τῆς μουσικῆς *a b* τελείας *V* (coni. Markland): τελείους *ceteri* v. sup. p. 18,1 13 ἐφίενται *D* εἶδεν ἐνταῦθ'] εἶδε ταῦτα *M* 14 κάλη *V* 15 κορυβαριῶντες *B* ἑτέρου δὲ γεμισθεὶς *M* 17 παραπεμφθείη *M* 18 γλειχομένου *V* γλιχόμενον δὲ τοῦτον ἰδεῖν *M* θείου] ἀθρόου *V*, ἀθρόου μήπως *M*

8 sqq. de monarch. II 217 οὐδὲν γὰρ ἄμεινον τοῦ ζητεῖν τὸν ἀληθῆ θεόν· . . . . μάρτυρες δὲ οἱ μὴ χείλεσιν ἄκροις γευσάμενοι φιλοσοφίας, ἀλλὰ τῶν λόγων καὶ δογμάτων αὐτῆς ἐπὶ πλέον ἑστιαθέντες· τούτων γὰρ ὁ λογισμὸς ἀπὸ τῆς γῆς ἄνω μετέωρος ἀρθεὶς αἰθεροβατεῖ καὶ συμπεριπολῶν ἡλίῳ καὶ σελήνῃ καὶ τῷ σύμπαντι οὐρανῷ τὰ ἐκεῖ πάντα γλιχόμενος ἰδεῖν ἀμυδροτέραις χρῆται ταῖς προσβολαῖς ἀκράτου καὶ πολλοῦ φέγγους ἐκχεομένου, ὡς τὸ τῆς ψυχῆς ὄμμα σκοτοδινιᾶν ταῖς μαρμαρυγαῖς. de septenn. II 279 (Tischendorf Philon. 17, 13) θεωροὶ τῆς φύσεως καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰς ἐν αὐτοῖς φύσεις διερευνώμενοι, σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων πλανήτων τε καὶ ἀπλανῶν ταῖς διανοίαις συμπεριπολοῦντες, τὰ μὲν σώματα κάτω πρὸς χέρσον ἱδρυμένοι, τὰς δὲ ψυχὰς ὑποπτέρους κατασκευάζοντες, ὅπως αἰθεροβατοῦντες τὰς ἐκεῖ δυνάμεις περιαθρῶσιν. 15 sqq. quis rer. div. her. I 482 πόθος οὖν εἴ τις εἰσέρχεταί σε, ψυχή, τῶν θείων ἀγαθῶν κληρονομῆσαι, μὴ μόνον γῆν τὸ σῶμα καὶ συγγένειαν αἰσ-

:ιμάρρου τρόπον ἐκχέονται, ὡς ταῖς μαρμαρυγαῖς τὸ τῆς διανοίας ιμα σκοτοδινιᾶν. Ἐπεὶ δ' οὐ σύμπασα εἰκὼν ἐμφερὴς ἀρχετύπῳ κραδείγματι, πολλαὶ δ' εἰσὶν ἀνόμοιοι, προσεπεσημήνατ' εἰπὼν τῷ κτ' εἰκόνα τὸ καθ' ὁμοίωσιν εἰς ἔμφασιν ἀκριβοῦς ἐκμαγείου τραιν τύπον ἔχοντος.

24. Ἀπορήσειε δ' ἄν τις οὐκ ἀπὸ σκοποῦ, τί δήποτε τὴν νθρώπου μόνου γένεσιν οὐχ ἑνὶ δημιουργῷ καθάπερ τἄλλ' ἀνέηκεν, ἀλλ' ὡσανεὶ πλείοσιν· εἰσάγει γὰρ τὸν πατέρα τῶν ὅλων κυτὶ λέγοντα· „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ αθ' ὁμοίωσιν“. μὴ γὰρ χρεῖός ἐστιν, εἴποιμ' ἄν, οὑτινοσοῦν, ᾧ :ἀνθ' ὑπήκοα; ἢ τὸν μὲν οὐρανὸν ἡνίκ' ἐποίει καὶ τὴν γῆν καὶ ἡν θάλατταν, οὐδενὸς ἐδεήθη τοῦ συνεργήσοντος, ἄνθρωπον δὲ ραχὺ ζῷον οὕτως καὶ ἐπίκηρον οὐχ οἷός τ' ἦν δίχα συμπράξεως τέρων αὐτὸς ἀφ' ἑαυτοῦ κατασκευάσασθαι; τὴν μὲν οὖν ἀληθεσ:άτην αἰτίαν θεὸν ἀνάγκη μόνον εἰδέναι, τὴν δ' εἰκότι στοχασμῷ τιθανὴν καὶ εὔλογον εἶναι δοκοῦσαν οὐκ ἀποκρυπτέον· | p. 17 M. ἔστι δ' ἧδε. τῶν ὄντων τὰ μὲν οὔτ' ἀρετῆς οὔτε κακίας μετέχει, ὥσπερ ρυτὰ καὶ ζῷα ἄλογα, τὰ μὲν ὅτι ἄψυχά τ' ἐστὶ καὶ ἀφαντάστῳ ρύσει διοικεῖται, τὰ δ' ὅτι νοῦν καὶ λόγον ἐκτέτμηται· κακίας δὲ

---

1 χειμάρρου αἳ τρόπον ἐκχέονται κατακλύσωσιν, ἐπιδίδωσιν αὐτῷ τὸ φῶς ὁ θεὸς ὡς ταῖς κτλ. *M* 2 σκοτοδεινιάν *V*, σκοτοδινιῶντι *M* ἐπεὶ] ἐπειδὴ *M* ἐμφερὴς ἀρχετύπῳ παραδείγματι *VMPFa* : ἀρχετύπῳ παραδείγματι ἐμφερής *b* 3 προσυπεσημήνατο *F* τῷ] τὸ *D* 4 ἐκμαγίου *V* 6 ἀπορήσῃ *M* τὴν om. *F* 7 τἄλλ' ἂν ἔθηκεν *D* 8 τὸν ὅλων *HIK*, τῶν ὅλων om. *a* 9 ταυτὶ λέγοντα] ταυτ' εἰ λέγοντα *V*, ἀντιλέγοντα *BD* 10 εἴποιμ' ἂν] εἰποιμανὲς *D* 11 πάντα *codd.* καὶ τὴν γῆν om. *V* καὶ γῆν καὶ θάλατταν *M* 12 θάλασσαν *b* συνεργήσαντος *D* 13 ἐπίκαιρον *M* 14 ἀφ' ἑαυτοῦ Mang. (Markland) : ὑφ' ἑαυτοῦ *codd.* 18 ἄψυχά ἐστι *b* 19 διώκηται *M* νοῦν] καὶ νοῦν *a* νοῦ καὶ λόγου *M* ἐκτέτμηται] οὐ κέκτηται *a*

θησιν καὶ οἶκον πατρὸς τὸν λόγον καταλίπῃς, ἀλλὰ καὶ σαυτὴν ἀπόδραθι καὶ ἔκστηθι σεαυτῆς, καθάπερ οἱ κορυβαντιῶντες καὶ κατεχόμενοι, βακχευθεῖσα καὶ θεοφορηθεῖσα κατά τινα προφητικὸν ἐπιθειασμόν· ἐνθουσιώσης γὰρ καὶ οὐκέτι οὔσης ἐν ἑαυτῇ διανοίας, ἀλλ' ἔρωτι οὐρανίῳ σεσοβημένης καὶ ἐκμεμηνυίας καὶ ἄνω πρὸς αὐτὸν εἱλκυσμένης, προϊούσης ἀληθείας καὶ τὰ ἐν ποσὶν ἀναστελλούσης, ἵνα κατὰ λεωφόρου βαίνοι τῆς ὁδοῦ, τὸ γενέσθαι τῶν θείων κληρονόμον. de vit. contempl. II 473 οἱ δ' ἐπὶ θεραπείαν ἰόντες οὔτε ἐξ ἔθους οὔτε ἐκ παρακλήσεως ἢ παραινέσεών τινων, ἀλλ' ὑπ' ἔρωτος ἁρπασθέντες οὐρανίου καθάπερ οἱ βακχευόμενοι καὶ κορυβαντιῶντες ἐνθουσιάζουσι, μέχρις ἂν τὸ ποθούμενον ἴδωσιν. 17 sqq. de conf. ling. I 431 sq. ἡ μὲν φύσις τῶν ζῴων εἰς τ' ἄλογον καὶ λογικὴν μοῖραν ἐναντίας ἀλλήλαις ἐτμήθη τὸ πρῶτον· ἡ δ' αὖ λογικὴ πάλιν εἰς

καὶ ἀρετῆς ὡς ἂν οἶκος νοῦς καὶ λόγος, ᾧ πεφύκασιν ἐνδιαιτᾶσθαι· τὰ δ' αὖ μόνης κεκοινώνηκεν ἀρετῆς ἀμέτοχα πάσης ὄντα κακίας, ὥσπερ οἱ ἀστέρες· οὗτοι γὰρ ζῷά τ' εἶναι λέγονται καὶ ζῷα νοερά, μᾶλλον δὲ νοῦς αὐτὸς ἕκαστος, ὅλος δι' ὅλων σπουδαῖος καὶ παντὸς ἀνεπίδεκτος κακοῦ· τὰ δὲ τῆς μικτῆς ἐστι φύσεως, ὥσπερ ἄνθρωπος, ὃς ἐπιδέχεται τἀναντία, φρόνησιν καὶ ἀφροσύνην, σωφροσύνην καὶ ἀκολασίαν, ἀνδρείαν καὶ δειλίαν, δικαιοσύνην καὶ ἀδικίαν, καὶ συνελόντι φράσαι ἀγαθὰ καὶ κακά, καλὰ καὶ αἰσχρά, ἀρετὴν καὶ κακίαν. τῷ δὴ πάντων πατρὶ θεῷ τὰ μὲν σπουδαῖα δι' αὐτοῦ μόνου ποιεῖν οἰκειότατον ἦν ἕνεκα τῆς πρὸς αὐτὸν συγγενείας, τὰ δ' ἀδιάφορα οὐκ ἀλλότριον, ἐπειδὴ καὶ ταῦτα τῆς ἐχθρᾶς αὐτῷ κακίας ἀμοιρεῖ, τὰ δὲ μικτὰ τῇ μὲν οἰκεῖον τῇ δ' ἀνοίκειον, οἰκεῖον μὲν ἕνεκα τῆς ἀνακεκραμένης βελτίονος ἰδέας, ἀνοίκειον δ' ἕνεκα τῆς ἐναντίας καὶ χείρονος. διὰ τοῦτ' ἐπὶ μόνης τῆς ἀνθρώπου γενέσεώς φησιν ὅτι εἶπεν ὁ θεὸς „ποιήσωμεν", ὅπερ ἐμφαίνει συμπαράληψιν

1 ὡς ἂν οἶκος] ὅσ' ἂν οὐ κοσμεῖ *M* ᾧ *V*: ὡς *F*[1], οἷς ***MF*[2]*b***, οἷς αὗται *a* 2 μόνος *D* 4 αὐτὸς ἕκαστος] αὐτῶν ὁ ἕκαστος ***a*** δι' ὅλων *VMFa*: δι' ὅλου ***b*** σπουδαῖος γὰρ καὶ *V* 7 ἀνδρίαν ***Fa*** 8 φράσαι] φάναι *a* καὶ ante καλὰ et ante ἀρετὴν add. *VM* 9 δι' αὐτοῦ *AH*: διὰ τοῦ *V*[h], δι' αὐτοῦ *ceteri* 10 αὐτὸν *codd.* τὰ δὲ διάφορα *M* 12 τῇ μὲν — τῇ δ' *VMF*: πῇ μὲν — πῇ δ' ***ab*** 13 ἀνακεκραμένης om. *M* βελτίονος] κρείττονος *M* ἰδέας om. *M* 15 ποιήσωμεν *VM*: ποιήσωμεν (ποιήσομεν *D*) ἄνθρωπον ***ab***

τε τὸ φθαρτὸν καὶ ἀθάνατον εἶδος, φθαρτὸν μὲν τὸ ἀνθρώπων, ἄφθαρτον δὲ τὸ ψυχῶν ἀσωμάτων αἳ κατά τε ἀέρα καὶ οὐρανὸν περιπολοῦσι· κακίας δὲ ἀμέτοχοι μέν εἰσιν αὗται . . . . .· ἀμέτοχοι δὲ καὶ αἱ τῶν ἀλόγων, παρ' ὅσον ἀμοιροῦσαι διανοίας οὐδὲ τῶν ἐκ λογισμοῦ συμβαινόντων ἑκουσίων ἀδικημάτων ἁλίσκονται. μόνος δὲ σχεδὸν ἐκ πάντων ὁ ἄνθρωπος ἀγαθῶν καὶ κακῶν ἔχων ἐπιστήμην αἱρεῖται μὲν πολλάκις τὰ φαυλότατα, φεύγει δὲ τὰ σπουδῆς ἄξια, ὡς αὐτὰ μάλιστα ἐπὶ τοῖς ἐκ προνοίας ἁμαρτήμασι καταγινώσκεσθαι. προσηκόντως οὖν τὴν τούτου κατασκευὴν ὁ θεὸς περιῆψε καὶ τοῖς ὑπάρχοις αὐτοῦ λέγων „ποιήσωμεν ἄνθρωπον", ἵν' αἱ μὲν τοῦ νοῦ κατορθώσεις ἐπ' αὐτὸν ἀναφέρωνται μόνον, ἐπ' ἄλλους δ' αἱ ἁμαρτίαι. de mut. nom. I 583 φαύλου μὲν γὰρ ψυχὴν οὐ διέπλασεν· ἐχθρὸν γὰρ θεῷ κακία· τὴν δὲ μέσην οὐ δι' ἑαυτοῦ μόνου κατὰ τὸν ἱερώτατον Μωσῆν, ἐπειδὴ κηροῦ τρόπον ἔμελλεν αὐτὴ δέξασθαι καλοῦ τε καὶ αἰσχροῦ διαφοράν. διόπερ λέγεται „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν", ἵν' εἰ μὲν δέξηται φαῦλον τύπον, ἑτέρων φαίνηται δημιούργημα, εἰ δὲ καλόν, τοῦ τῶν καλῶν καὶ ἀγαθῶν μόνων τεχνίτου. 4 de gigant. I 263 καὶ γὰρ οὗτοι (ἀστέρες) ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρ' ὃ καὶ κύκλῳ κινοῦνται τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἕκαστος αὐτῶν ἀκραιφνέστατος. de somn. I 641 καὶ γὰρ ἕκαστος τούτων (ἀστέρων) οὐ μόνον ζῷον, ἀλλὰ καὶ νοῦς ὅλος δι' ὅλων ὁ καθαρώτατος εἶναι λέγεται. de plant. I 331 ζῷα γὰρ καὶ τούτους (ἀστέρας) νοερὰ δι' ὅλων φασὶν οἱ φιλοσοφήσαντες.

έρων ὡς ἂν συνεργῶν, ἵνα ταῖς μὲν ἀνεπιλήπτοις βουλαῖς τε καὶ ράξεσιν ἀνθρώπου κατορθοῦντος ἐπιγράφηται θεὸς ὁ πάντων ἡγεών, ταῖς δ' ἐναντίαις ἕτεροι τῶν ὑπηκόων· ἔδει γὰρ ἀναίτιον εἶναι ακοῦ τὸν πατέρα τοῖς ἐκγόνοις· κακὸν δ' ἡ κακία καὶ αἱ κατὰ ακίαν ἐνέργειαι. Πάνυ δὲ καλῶς τὸ γένος ἄνθρωπον εἰπὼν ιέκρινε τὰ εἴδη, φήσας ἄρρεν τε καὶ θῆλυ δεδημιουργῆσθαι, μήπω ῶν ἐν μέρει μορφὴν λαβόντων, ἐπειδὴ τὰ προσεχέστατα τῶν εἰδῶν νυπάρχει τῷ γένει καὶ ὥσπερ ἐν κατόπτρῳ διαφαίνεται τοῖς ὀξὺ αθορᾶν δυναμένοις.

25. | Ἐπιζητήσειε δ' ἄν τις τὴν αἰτίαν, δι' ἣν ὕστατόν ἐστιν p. 18 M. ἄνθρωπος τῆς τοῦ κόσμου γενέσεως· ἐφ' ἅπασι γὰρ τοῖς ἄλλοις ιὐτὸν ὁ ποιητὴς καὶ πατήρ, ὥσπερ αἱ ἱεραὶ γραφαὶ μηνύουσιν, ἰργάσατο. λέγουσιν οὖν οἱ τοῖς νόμοις ἐπὶ πλέον ἐμβαθύναντες καὶ τὰ κατ' αὐτούς, ὡς ἔνι μάλιστα, μετὰ πάσης ἐξετάσεως ἀκριβοῦντες, ὅτι τῆς αὐτοῦ συγγενείας μεταδοὺς ὁ θεὸς ἀνθρώπῳ τῆς λογικῆς, ἥτις ἀρίστη δωρεῶν ἦν, οὐδὲ τῶν ἄλλων ἐφθόνησεν, ἀλλ' ὡς οἰκειοτάτῳ καὶ φιλτάτῳ ζῴῳ τὰ ἐν κόσμῳ πάντα προητοιμάσατο, βουληθεὶς γενόμενον αὐτὸν μηδενὸς ἀπορῆσαι τῶν πρός τε τὸ ζῆν καὶ τὸ εὖ ζῆν· ὧν τὸ μὲν παρασκευάζουσιν αἱ χορηγίαι καὶ ἀφθονίαι τῶν πρὸς ἀπόλαυσιν, τὸ δ' ἡ θεωρία τῶν κατ' οὐρανόν, ἀφ' ἧς πληχθεὶς ὁ νοῦς ἔρωτα καὶ πόθον ἔσχε τῆς τούτων ἐπιστήμης, ὅθεν τὸ φιλοσοφίας ἀνεβλάστησε γένος, ὑφ' οὗ καίτοι θνητὸς ὢν ἄνθρωπος ἀπαθανατίζεται. καθάπερ οὖν οἱ ἑστιάτορες οὐ πρότερον

---

1 τε om. *F*   2 θεὸς] ὁ θεὸς *M*   4 ἐγγόνοις *Mb*   δ' ἡ] δὴ *V*   αἱ] ἡ *MBD*   5 ἐνέργεια *MBD*   6 δεδημιουργεῖσθαι *V*   7 μέρη *V*   προσεχέστατα *V* (coni. Mangey) : ἔσχατα *ceteri*, ἕκαστα coni. Markland   εἰδῶν] ἰδεῶν *M*   10 ὕστατον *V*: ὕστατος *M*, ὕστατον ἔργον *ab*   11 ὁ ἄνθρωπος *ABC*   12 αὐτὸν] αὐτὸς *M*   ὥσπερ αἱ ἱεραὶ *V*: ὡς αἱ ἱεραὶ *MF*, ὡς ἱεραὶ *ab*   13 ἐπιπλέον ἐμβαθύναντες *V*: ἐπιπλέον ἐμβαθύνοντες *MFa*, ἐμβαθύναντες ἐπιπλέον *b*   14 καθ' αὑτοὺς (τ supra) *M*   15 αὐτοῦ] αὑτοῦ codd. edd.   16 ἥτις] εἴ τις *V*   20 τὸ] τῶν *B*   ἀφ' ἧς] ἀφεὶς *C*, ἐφ' ἧς *F*   21 ἔρωτα] ἐρωτᾷ *M*   23 ὁ ἄνθρωπος *C* (Mang.)   οἱ om. *C*

---

5 sqq. Leg. alleg. I 69 πρὸ γὰρ τῶν εἰδῶν ἀποτελεῖ τὰ γένη, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου· προτυπώσας γὰρ τὸν γενικὸν ἄνθρωπον, ἐν ᾧ τὸ ἄρρεν καὶ τὸ θῆλυ γένος φασὶν εἶναι, ὕστερον τὸ εἶδος ἀπεργάζεται τὸν Ἀδάμ. quis rer. div. her. I 496 διεῖλεν ἰσότης καὶ τὸν ἄνθρωπον εἰς ἄνδρα καὶ γυναῖκα, δύο τμήματα, ἄνισα μὲν ταῖς ῥώμαις, πρὸς ὃ δ' ἔσπευσεν ἡ φύσις, τρίτου τινὸς ὁμοίου γένεσιν, ἰσώτατα· „ἐποίησε γάρ, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν

ἐπὶ δεῖπνον καλοῦσιν ἢ τὰ πρὸς εὐωχίαν πάντ᾽ εὐτρεπίσαι καὶ οἱ τοὺς γυμνικοὺς ἀγῶνας καὶ σκηνικοὺς τιθέντες, πρὶν συναγαγεῖν τοὺς θεατὰς εἴς τε τὰ θέατρα καὶ τὰ στάδια, εὐτρεπίζουσιν ἀγωνιστῶν καὶ θεαμάτων καὶ ἀκουσμάτων πλῆθος, τὸν αὐτὸν τρόπον καὶ ὁ τῶν ὅλων ἡγεμὼν οἷά τις ἀθλοθέτης καὶ ἑστιάτωρ ἄνθρωπον καλεῖν μέλλων ἐπί τ᾽ εὐωχίαν καὶ θεωρίαν τὰ εἰς ἑκάτερον εἴδη προευτρεπίσατο, ἵν᾽ εἰς τὸν κόσμον εἰσελθὼν εὐθὺς εὕρῃ καὶ συμπόσιον καὶ θέατρον ἱερώτατον, τὸ μὲν ἁπάντων πλῆρες ὅσα γῆ καὶ ποταμοὶ καὶ θάλαττα καὶ ἀὴρ φέρουσιν εἰς χρῆσιν καὶ ἀπόλαυσιν, τὸ δὲ παντοίων θεαμάτων, ἃ καταπληκτικωτάτας μὲν ἔχει τὰς οὐσίας, καταπληκτικωτάτας δὲ τὰς ποιότητας, θαυμασιωτάτας δὲ τὰς κινήσεις καὶ χορείας ἐν τάξεσιν ἡρμοσμέναις καὶ ἀριθμῶν ἀναλογίαις καὶ περιόδων συμφωνίαις· ἐν αἷς ἁπάσαις τὴν ἀρχέτυπον καὶ ἀληθῆ καὶ παραδειγματικὴν μουσικὴν οὐκ ἂν ἁμαρτάνοι τις εἶναι λέγων, ἀφ᾽ ἧς οἱ μετὰ ταῦτ᾽ ἄνθρωποι γραψάμενοι ⟨ἐν⟩ ταῖς ἑαυτῶν ψυχαῖς τὰς εἰκόνας ἀναγκαιοτάτην καὶ ὠφελιμωτάτην τέχνην τῷ βίῳ παρέδοσαν.

26. Ἥδε μὲν αἰτία πρώτη, δι᾽ ἣν ἄνθρωπος ἐφ᾽ ἅπασι γεγενῆσθαι δοκεῖ· δευτέραν δ᾽ οὐκ ἀπὸ σκοποῦ λεκτέον. ἅμα τῇ πρώτῃ γενέσει τὰς εἰς τὸ ζῆν παρασκευὰς ἁπάσας εὗρεν ἄνθρωπος εἰς

1 καλοῦσιν om. *M* ἢ τὰ] εἶτα *M* πάντ᾽ om. *BD* ηὐτρέπισαν *M*, κατευτρεπίσαι *BD* 2 γυμνικοὺς ἀγῶνας καὶ σκηνικοὺς *V*: γυμνικοὺς καὶ σκηνικοὺς ἀγῶνας *ceteri* πρὶν ἢ *M* 3 τε om. *M* τὰ στάδια καὶ τὰ θέατρα *BD* εὐτρεπίζουσιν] διηυτρέπισαν *M* 7 προσευτρεπίσατο *M*, προηυτρεπίσατο *a* εὐθὺς om. *M* εὕροι *a* 8 τὸ μὲν om. *M* πλήρη *M* 9 χρῆσιν *VMFa*: χρῆσίν τε *b* 10 verba καταπληκτικωτάτας — οὐσίας om. *M* 11 δὲ καὶ τὰς ποιότητας *M*, δὲ τὰς om. *I* 12 κεινίσεις *V* χορείας] χρείας *I* ἡρμοσμέναις *ABCb*, εἱρμοσμέναι *V*: ἡρμοσμένας *MD* 13 ἐν αἷς ἁπάσαις scripsi: ἐν αἷς ἅπασαν *VM*, ἐν οἷς ἅπασι *ab* 14 ἁμαρτάνοι *VM*: ἁμάρτοι *ab* 15 ἐν addidi 16 αὐτῶν *V* τὰς εἰκόνας om. *ab* τέχνην om. *M* 17 παρέδωκαν *a* 18 γεγενῆσθαι *VFa*: γενέσθαι *M*, εἶναι *b* 19 δευτέραν *VF*: δεύτερον *Ma*, δευτέρα *b* λεκτέον *codd.*: λεκτέα *edd.*

αὐτόν, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς". οὐκέτι „αὐτὸν" ἀλλ᾽ „αὐτοὺς" ἐπιφέρει πληθυντικῶς, ἐφαρμόττων τὰ εἴδη τῷ γένει διαιρεθέντα ὡς εἶπον ἰσότητι.
12 de conf. ling. I 431 ἔστι δὲ καὶ κατὰ τὸν ἀέρα ψυχῶν ἀσωμάτων ἱερώτατος χορὸς ὀπαδὸς τῶν οὐρανίων· ἀγγέλους γὰρ τὰς ψυχὰς ταύτας εἴωθε καλεῖν ὁ θεσπιῳδὸς λόγος· πάντ᾽ οὖν τὸν στρατὸν ἑκάστων ἐν ταῖς ἁρμοττούσαις διακεκοσμημένον τάξεσιν ὑπηρέτην καὶ θεραπευτὴν εἶναι συμβέβηκε τοῦ διακοσμήσαντος ἡγεμόνος, ᾧ ταξιαρχοῦντι κατὰ δίκην καὶ θεσμὸν ἕπεται.

ὃασκαλίαν τῶν ἔπειτα, μόνον οὐκ ἄντικρυς βοώσης τῆς φύσεως, ι μιμούμενοι τὸν ἀρχηγέτην τοῦ γένους ἀπόνως καὶ ἀταλαιπώρως ἀφθονωτάτῃ τῶν ἀναγκαίων εὐπορίᾳ διάξουσιν· τουτὶ δὲ συμ-]σεται, | ἐὰν μήθ' αἱ ἄλογοι ἡδοναὶ ψυχῆς δυναστεύσωσι γαστρι- p. 19 M. ιργίαν καὶ λαγνείαν ἐπιτειχίσασαι μήθ' αἱ δόξης ἢ χρημάτων ἢ ›χῆς ἐπιθυμίαι τὸ τοῦ βίου κράτος ἀνάψωνται μήτε στείλωσι καὶ ιάμψωσι διάνοιαν αἱ λῦπαι μήθ' ὁ κακὸς σύμβουλος, φόβος, τὰς ἐπὶ ὶ σπουδαῖα τῶν ἔργων ὁρμὰς ἀναχαιτίσῃ μήτ' ἀφροσύνη καὶ δειλία ιὶ ἀδικία καὶ τὸ τῶν ἄλλων κακιῶν ἀμήχανον πλῆθος ἐπιθῆται. ›νὶ μὲν γὰρ πάντων ὅσα λέλεκται παρευημερησάντων καὶ τῶν νθρώπων ἀνέδην ἐκκεχυμένων εἴς τε τὰ πάθη καὶ τὰς ἀκράτορας αὶ ὑπαιτίους, ἃς οὐδ' εἰπεῖν θέμις, ὀρέξεις, ἀπαντᾶται δίκη προσή- ουσα τιμωρὸς ἀσεβῶν ἐπιτηδευμάτων· ἔστι δ' ἡ δίκη τὸ τῶν ἀναγκαίων δυσπόριστον. μόλις γὰρ ἀνατέμνοντες τὴν πεδιάδα καὶ πηγῶν ῥεῖθρα καὶ ποταμῶν ἐποχετεύοντες σπείροντές τε καὶ φυτεύ- ιντες καὶ τὸν γεωπόνων κάματον μεθ' ἡμέραν καὶ νύκτωρ ἀτρύτως ἐκδεχόμενοι δι' ἔτους συγκομίζουσι τὰ ἐπιτήδεια καὶ ταῦτ' ἔστιν ὅτε λυπρὰ καὶ οὐ πάνυ διαρκῆ, διὰ πολλὰς βλαβέντ' αἰτίας· ἢ γὰρ ὄμβρων ἐπαλλήλων φοραὶ κατέσυραν ἢ χαλάζης βάρος ἐπενεχθείσης ἀθρόως κατέκλασεν ἢ χιὼν περιέψυξεν ἢ βία πνευμάτων ῥίζαις αὐταῖς ἀνέστρεψε· πολλὰ γὰρ ὕδωρ καὶ ἀὴρ εἰς ἀγονίαν καρπῶν νεωτερίζουσιν. εἰ δὲ σωφροσύνῃ μὲν ἐξευμαρισθεῖεν αἱ ἄμετροι τῶν

1 μόνον οὐκ *Vb* : μονονοὺ *Fa*, μόνον οὐ καὶ *M* ἄντικρυς *VM* : ἄν- τικρυ *ab* 2 ἄπονον *F* 3 ἐν ἀφθονωτάτῃ τῶν ἀναγκαίων εὐπο- ρίᾳ *VMFa* : ἐν ἀφθονωτάτῃ διαίτῃ καὶ εὐπορίᾳ τῶν ἀναγκαίων *b* τουτὶ *MFa*, τοῦ τῇ *V*: τοῦτο *b* 4 μήτε *codd.* ψυχῆς *VM* : ψυχὴν *ab* δυναστεύσωσι *MKL*: δυναστεύωσι *VFABCHI*, δυναστεύουσι *D* 5 ἐπιστιχίσασαι *M* μήτε *codd.* αἱ om. *M* ἢ χρημάτων ἢ ἀρχῆς *Fa*, ἢ χρωμάτων ἢ ἀρχῆς *V*, ἢ χρημάτων ἀρχῆς *M* : ἢ ἀρχῆς ἢ χρημάτων *b* 7 διάνοιαν om. *V* μήθ'] μηδ' *M* 8 τὰς σπουδαίας *M* ἀναχετίσῃ *V* 9 τὸ] τῷ *C*, τὰ *M*[h] κακιῶν *V*: κακῶν *ceteri* 10 μὲν γὰρ] δὲ *a* πάντων *VMa*: πάντα *b* ὑπερευημερησάντων *BD* 11 ἀναίδην *D* ἐκχυμένων *V* εἰς τά τε *M* ἀκρατεῖς *M* 12 ὑπαι- τίους] ὑπαγγίους *V*, ὑπεναντίους *M* ἀπαντᾶται scripsi: ἅπαντα τε *V*, ἃ πάντα τε *M*, ἀπαντᾷ τὲ *ab* προσήκουσα δέξεται τιμωρὸς *M* 13 τειμωρὸς *V* ἡ δικη το τῶν ἀναγκαίων δυσπόριστον *V*: ἡ δίκη τις τῶν ἀναγκαίων τὸ δυσπόριστον *M*, ἠδικηκότων ἀναγκαῖον (τἀναγκαῖον *F*) δυσπόριστον *Fb*, ἠδικη- κότων εἰς κόλασιν τὰ τῶν ἀναγκαίων δυσπόριστα *a* 14 μόλις] μόγις *M* τὴν πεδιάδα *VFa*, τήν τε πεδιάδα *M*: τὰ πεδία *b* 15 πιγῶν *V* 16 γεωπόνων *V*, τῶν γεωπόνων *M* : γεωπόνον *ab* καθ' ἡμέραν *MF* · 17 συγκομίζονται *M* 19 φοραὶ κατέσυραν *V*: φορὰ κατέσυρεν *ceteri* ἐπενεχθείσης *VM*: κατενεχθείσης *ab* 20 ἀθρόας *VF* 21 ἀνέστρεψε *b* : ἀνέστρεψαν *V*, ἀνέτρεψε *MF*,

παθῶν ὁρμαί, δικαιοσύνῃ δ' αἱ περὶ τἀδικεῖν σπουδαί τε καὶ φιλοτιμίαι, καὶ συνελόντι φράσαι ταῖς ἀρεταῖς καὶ ταῖς κατ' ἀρετὰς ἐνεργείαις αἱ κακίαι καὶ αἱ κατ' αὐτὰς ἀνήνυτοι πράξεις, ἀνῃρημένου μὲν πολέμου τοῦ κατὰ ψυχήν, ὅς ἀψευδῶς ἐστι πολέμων ἀργαλεώτατος καὶ βαρύτατος, εἰρήνης δ' ἐπισχούσης καὶ ταῖς ἐν ἡμῖν δυνάμεσιν εὐνομίαν παρασκευαζούσης ἡσυχῇ τε καὶ πράως ἐλπὶς ἂν εἴη τὸν θεὸν ἅτε φιλάρετον καὶ φιλόκαλον καὶ προσέτι φιλάνθρωπον τἀγαθὰ αὐτόματα παρασχεῖν ἐξ ἑτοίμου τῷ γένει· δῆλον γὰρ ὡς εὐμαρέστερον τοῦ τὰ μὴ ὄντα εἰς τὸ εἶναι παραγαγεῖν τὸ τὴν ἐκ τῶν ὄντων φορὰν ἄνευ τέχνης γεωργικῆς ἐπιδαψιλεύσασθαι.

27. Δευτέρα μὲν αἰτία ἥδε λελέχθω, τρίτη δ' ἐστὶ τοιάδε. ἀρχὴν καὶ τέλος τῶν γεγονότων ὁ θεὸς ἁρμόσασθαι διανοηθεὶς ὡς ἀναγκαῖα καὶ φίλτατα, ἀρχὴν μὲν οὐρανὸν ἐποίει, τέλος δ' ἄνθρωπον, τὸν μὲν τῶν ἐν αἰσθητοῖς ἀφθάρτων τελειότατον, τὸν δὲ τῶν γηγε-
p. 20 M. νῶν καὶ φθαρτῶν ἄριστον, | βραχύν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὐρανὸν πολλὰς ἐν αὐτῷ φύσεις ἀστεροειδεῖς ἀγαλματοφοροῦντα τέχναις καὶ ἐπιστήμαις καὶ τοῖς καθ' ἑκάστην ἀρετὴν ἀοιδίμοις θεωρήμασιν. ἐπειδὴ γὰρ ἐναντία φύσει τό τε φθαρτὸν καὶ τὸ ἄφθαρτον, εἴδους ἑκατέρου τὸ κάλλιστον ἀρχῇ καὶ τέλει προσένειμεν, ἀρχῇ μὲν οὐρανόν, ὡς ἐλέχθη, τέλει δ' ἄνθρωπον.

28. Ἐπὶ πᾶσι μέντοι κἀκεῖνο λέγεται πρὸς ἀπόδοσιν αἰτίας ἀναγκαίας. ἔδει πάντων γεγονότων ὕστατον φῦναι τὸν ἄνθρωπον, ἵνα τελευταῖος ἐξαπιναίως τοῖς ἄλλοις ζῴοις ἐπιφανεὶς ἐμποιήσῃ κατάπληξιν· ἔμελλε γὰρ ἰδόντα πρῶτον τεθηπέναι καὶ προσκυνεῖν ὡς ἂν

κατέστρεφε *a* 1 ὁρμαί] φοραί *a* αἱ] ἂν *M* τἀδικεῖν *V*: τὸ ἀδικεῖν *ceteri* φιλοτιμεῖαι *V* 2 φράσαι] φάναι *M* 3 verba αἱ κακίαι καὶ om. *B* καθ' *V* ἀνηρτιμένου *V* 4 πολέμου] τοῦ πολέμου *V* 7 ἐλπὶς ἂν εἴη scripsi: ἐλπὶς ἂν ἦν *V*, ἤλπισαν εἰς *M*, ἤλπισαν *ab* ἅτε] ὄντα *M* verba φιλόκαλον καὶ προσέτι om. *F* 9 εὐμαρέστατον *b* (non *F*) τοῦ μὴ τὰ ὄντα *a* εἰς τὸ om. *V* παραγαγεῖν Mang. (Christoph.): παρελθεῖν *codd.* 10 τὸ om. V^h γεωργικῆς] δημιουργικῆς *a* 12 λελέχθω *VM*: λέλεκται *ab* τρίτη] τρία *D* 14 ἐποιεῖτο (το in ras.) *M* 15 αἰσθητικοῖς *a* verba τελειότατον — 16 φθαρτῶν om. *I* (τελειότατον add. in marg.) τῶν ante γηγενῶν om. *M* 16 δεῖ] δὲ *M* 18 καὶ ἐπιστήμαις *V*: καὶ τισιν ἐπιστήμαις *ceteri* 22/23 αἰτίας ἀναγκαίας. ἔδει *codd.*: αἰτίας· ἀναγκαίως ἔδει Turn. 24 ζῴοις om. *D*

16 quis rer. div. her. I 494 οὕτως ἐθάρρησαν ἔνιοι καὶ τῷ παντὶ κόσμῳ τὸ βραχύτατον ζῷον ἄνθρωπον ἴσον ἀποφῆναι, κατιδόντες ὅτι ἑκάτερον ἐκ σώματος καὶ ψυχῆς καθέστηκε λογικῆς, ὥστε καὶ ἐναλλάττοντες βραχὺν μὲν κόσμον τὸν ἄνθρωπον ἔφασαν, μέγαν δ' ἄνθρωπον τὸν κόσμον εἶναι.

ἡμόνα φύσει καὶ δεσπότην· διὸ καὶ θεασάμενα πάντα διὰ πάντων ἐρώθη καὶ ὅσα τὰς φύσεις ἀγριώτατα κατὰ τὴν πρώτην εὐθὺς όσοψιν ἐγίνετο χειροηθέστατα, τὰς μὲν ἀτιθάσους λύττας ἐπιδεικνυμενα κατ' ἀλλήλων, εἰς δὲ μόνον τὸν ἄνθρωπον τιθασευόμενα. ρ' ἣν αἰτίαν καὶ γεννήσας αὐτὸν ὁ πατὴρ ἡγεμονικὸν φύσει ζῷον ι ἔργῳ μόνον ἀλλὰ καὶ τῇ διὰ λόγου χειροτονίᾳ καθίστη τῶν ὸ σελήνην ἁπάντων βασιλέα, χερσαίων καὶ ἐνύδρων καὶ ἀεροπόρων· ὅσα γὰρ θνητὰ ἐν τοῖς τρισὶ στοιχείοις, γῇ, ὕδατι, ἀέρι, νθ' ὑπέταττεν αὐτῷ, τὰ κατ' οὐρανὸν ὑπεξελόμενος ἅτε θειοτέρας ίρας ἐπιλαχόντα. πίστις δὲ τῆς ἀρχῆς ἐναργεστάτη τὰ φαινόμενα· ιεμμάτων ἔστιν ὅτε πλήθη μυρία πρὸς ἀνδρὸς ἑνὸς ἄγεται τοῦ χόντος οὔθ' ὁπλοφοροῦντος οὔτε σίδηρον οὔτε τι τῶν ἀμυντηρίων ιφερομένου, διφθέραν δ' αὐτὸ μόνον ἔχοντος σκεπαστήριον καὶ ικτηρίαν ἕνεκα τοῦ διασημῆναί τε καὶ ἐν ταῖς ὁδοιπορίαις εἴ ίμοι στηρίσασθαι· τὰς γοῦν πολυζῴους ἀγέλας προβάτων, αἰγῶν, ιῶν, ἄγει ποιμήν, αἰπόλος, βουκόλος, ἄνθρωποι μηδὲ τοῖς σώμασιν ιρωμένοι καὶ σφριγῶντες, ὡς ἕνεκα γοῦν εὐεξίας ἐμποιῆσαι τοῖς οὖσι κατάπληξιν· καὶ αἱ τοσαῦται τῶν τοσούτων ἀλκαί τε καὶ ινάμεις εὐοπλούντων — ἔχουσι γὰρ τὰς ἐκ φύσεως παρασκευὰς ἷς ἀμύνονται — καθάπερ δοῦλοι δεσπότην κατεπτήχασι καὶ τὰ ροσταττόμενα δρῶσι· ταῦροι μὲν καταζεύγνυνται πρὸς ἄροτον γῆς αἰ βαθείας αὔλακας ἀνατέμνοντες δι' ἡμέρας, ἔστι δ' ὅτε <καὶ ικτός>, μακρὸν δόλιχον ἀποτείνουσι γεωπόνου τινὸς ἐφεστῶτος· ριοὶ δὲ βρίθοντες βαθέσι μαλλοῖς ὑπόποκοι κατὰ τὴν ἔαρος ὥραν

1 θεασάμενον *AC* 2 τὰς φύσεις *VM*: τὴν φύσιν *ab* ἀγριότατα *C*, γριότητα *V*, ἀγριῶντα *M* 3 ἐγίγνετο *V*, ἐγίνοντο *AC* ἀτιθάσους *VM*: τιθάσσους *ab* λύττας *M*, αὔγας *V*: λύσσας *FABDHK*, λύσας *CIL* 4 δὲ μόνον] δεόμενον *V* τιθασευόμενα *VMD*: τιθασσευόμενα *ABCb* 6 καθίστη *V*: καθίστησι *ceteri* 7 χερσαίων τὲ καὶ *M* καὶ ante ἀεροπόρων om. *BD* 9 πάντα *codd.* τὰ om. *V* ὑφεξελόμενος V^h 10 ἐπιλαχόντα] ἐπιτυχόντα *a* 11 πληθὺς *M* ἀνδρὸς ἑνὸς *VD*: ἑνὸς ἀνδρὸς *ABCb*, ἑνὸς om. *M* 12 οὐδὲ σίδηρον *M* τι] om. *AC*, τινι *b*, τί ἄλλο *V* 13 αὐτῷ μόνον *F*, αὐτοῦ μόνην *M* ἔχοντα *a*, ἔχοντα ante μόνον *C* 14 διασημεῖναι *V* καὶ ἐν ταῖς ὁδοιπορίαις εἰ *ab*: καὶ εἰ ταῖς ὁδοιπορίαις *VM* 15 κάμῃ *M* στηρίσασθαι *VFa*: στηρίζεσθαι *Mb* προβάτων *VMFa*: τῶν προβάτων *b* 17 ἕνεκεν *F* 18 ἰδοῦσι] ὁδοῦσι *Cb* καὶ αἱ] κἂν *M* ἀλκαί τε om. *F* 20 δεσπότην *VMb*: δεσπότας *a* 21 ταῦροι *codd.*: βόες Mang. (Christoph.) μὲν γὰρ *M* ἄροτον Mangey (Markland): ἄροτρον *codd.* 22 ἀνατέμνονται *HIK*, ἀνατεμόντες *F*, κατατέμνοντες (ἀνα supra) *A*, κατατέμνοντες *C* δι' ἡμέρας] νυκτὸς καὶ ἡμέρας *M* καὶ νυκτὸς addidi 23 μακρὸν] πόνον *M* δολιχὸν *VM* 24 κρειοὶ δὲ βρείθοντες *V* ὑπόποκοι] καὶ πόκοις *M*

ὑπὸ ποιμένος κελευσθέντες ἵστανται μετ' ἠρεμίας ἢ καὶ ἡσυχῇ κατακλινέντες ἐμπαρέχουσιν ἀποκείρασθαι τὸ ἔριον ἐθιζόμενοι καθάπερ
p. 21 M. αἱ πόλεις τὸν ἐτήσιον ἀποδιδόναι | δασμὸν τῷ φύσει βασιλεῖ· καὶ μὴν τό γε θυμικώτατον ζῷον, ἵππος, ῥᾳδίως [ἄγεται] χαλιναγωγηθείς, ἵνα μὴ σκιρτῶν ἀφηνιάζῃ, καὶ τὰ νῶτα κοιλάνας εὖ μάλα πρὸς τὸ εὔεδρον δέχεται τὸν ἔποχον καὶ μετέωρον ἀναβαστάσας ὀξύτατα θεῖ σπουδάζων, εἰς οὓς ἂν ἐπείγηται γίνεσθαι τόπους ἐκεῖνος, ἀφικνεῖσθαι καὶ διακομίζειν· ὁ δ' ἐφιδρυμένος ἄνευ καμάτων κατὰ πολλὴν ἡσυχίαν ἑτέρου σώματι καὶ ποσὶν ἀνύτει τὸν δρόμον.

29. Πολλὰ δ' ἂν ἔχοι τις λέγειν ἕτερα βουλόμενος ἀπομηκύνειν εἰς ἔνδειξιν τοῦ μηδὲν ἀπελευθεριάζειν ὑπεξῃρημένον τῆς ἀνθρώπου ἡγεμονίας· δείγματος δ' ἕνεκα καὶ τὰ ῥηθέντ' ἀρκεῖ· χρὴ μέντοι μηδ' ἐκεῖν' ἀγνοεῖν ὅτι οὐ παρ' ὅσον ὕστατον γέγονεν ἄνθρωπος διὰ τὴν τάξιν ἠλάττωται. μάρτυρες δ' ἡνίοχοι καὶ κυβερνῆται· οἱ μὲν γὰρ ὑστερίζοντες τῶν ὑποζυγίων καὶ κατόπιν αὐτῶν ἐξεταζόμενοι ᾗ ἂν ἐθέλωσιν αὐτὰ ἄγουσι τῶν ἡνιῶν ἐνειλημμένοι καὶ τοτὲ μὲν ἐφιέντες πρὸς ὀξὺν δρόμον, τοτὲ δ' ἀναχαιτίζοντες, εἰ φορᾷ τοῦ δέοντος πλείονι θέοι· οἱ δ' αὖ κυβερνῆται πρὸς τὸ τῆς νεὼς ἔσχατον χωρίον πρύμναν παρελθόντες πάντων ὡς ἔπος εἰπεῖν εἰσιν ἄριστοι τῶν ἐμπλεόντων, ἅτε τῆς νεὼς καὶ τῶν ἐν αὐτῇ τὴν σωτηρίαν ἐν χερσὶ ταῖς αὑτῶν ἔχοντες. ἡνίοχον δή τινα καὶ κυβερνήτην ἐφ' ἅπασιν ὁ ποιητὴς ἐδημιούργει τὸν ἄνθρωπον, ἵν' ἡνιοχῇ καὶ κυβερνᾷ τὰ περίγεια, ζῴων καὶ φυτῶν λαβὼν τὴν ἐπιμέλειαν οἷά τις ὕπαρχος τοῦ πρώτου καὶ μεγάλου βασιλέως.

30. Ἐπεὶ δ' ὁ σύμπας κόσμος ἐτελειώθη κατὰ τὴν ἑξάδα

---

1 ἢ καὶ *VF*: ἢ om. *ceteri* κατακλινέντες *VF* (et *E* teste Mangeio): κατακλίνοντες *Mb*, κατακλιθέντες *a* 2 ἀποκείρασθαι *VMFa*: ἀποκείρεσθαι *b* ἔριον] ἔργον *a* ἐθιζόμεναι *b* (non *F*) 3 τῷ φύσει βασιλεῖ *VM*: τῷ βασιλεῖ φύσει *ab* 4 ἄγεται uncis inclusi χαλιναγωγηθείς *VM*: χαλινωθείς *ab* 7 θεῖ] σεῖ *V* γίνεσθαι om. *Ma* 8 διακομίζει *M* ἐφειδρυμένος *V* 9 ἀνύτει] ἀνύττει *V*, ἀνύει *M*, ἐξανύττει *a*, ἐξανύει *b* 10 ἔχῃ *HI*, ἔχ[οι]ῃ[η] *K*, ἔχοι *L* ἕτερα λέγειν *a* 11 ὑφεξῃρημένον *V* 13 ὕστατος *M*, ὕστερον *BD* 14 post ἄνθρωπος verba τῆς τοῦ κόσμου γενέσεως add. *M* 15 γὰρ om. *V* ὑστερίζοντες *VMFa*: ὑστερίζονται *b* 16 ᾗ ἂν] ἢ ἐὰν *V*, ἐὰν *M* θέλωσιν *MABC* ἡνίων *VM* ἐνειλημμένοι *VMFa*: εἰλημμένοι *b* 17 ἐφιέντες *codd.*: ἀφιέντες Mang. ἀναχετίζοντες *Va* εἰ] ὡς μὴ *M* εἰ φορᾷ] εἰσφορᾷ *a* (sed in *A* σ eras.) 18 θέοι] θέει *A*, θέα *C*, θεῖ *BD*, θέοιεν *F* 20 πλεόντων *a* 21 ἐν χερσὶ *VM*: ἐν ταῖς χερσὶ *ab* αὑτῶν *VMFBDIL* αὑτῶν corr. ex αὐτῶν *H* δή *V*: δέ *ceteri* καὶ om. *BD* 23 κυβερνῇ *F* περίγεια] ἐπίγεια *M* 25 ἑξάδος] τῆς ἑξάδος *M*

ιϑμοῦ τελείου φύσιν, τὴν ἐπιοῦσαν ἡμέραν ἑβδόμην ἐσέμνυνεν ὁ ϰτὴρ ἐπαινέσας ϰαὶ ἁγίαν προσειπών· ἑορτὴ γὰρ οὐ μιᾶς πόλεως χώρας ἐστὶν ἀλλὰ τοῦ παντός, ἣν ϰυρίως ἄξιον ϰαὶ μόνην ϰνδημον ὀνομάζειν ϰαὶ τοῦ ϰόσμου γενέϑλιον. τὴν δ' ἑβδομάδος φύσιν ὐϰ οἶδ' εἴ τις ἱϰανῶς ἂν ὑμνῆσαι δύναιτο παντὸς οὖσαν λόγου ›ρείττονα· οὐ μὴν ὅτι ϑαυμασιωτέρα τῶν περὶ αὐτῆς λεγομένων ϛτί, διὰ τοῦϑ' ἡσυχαστέον, ἀλλ' ἐπιτολμητέον, εἰ ϰαὶ μὴ πάντα ηδὲ τὰ ϰυριώτατα οἷόν τε, τὰ γοῦν ταῖς ἡμετέραις διανοίαις ἐφιϰτὰ ηλῶσαι. διχῶς ἑβδομὰς λέγεται, ἡ μὲν ἐντὸς δεϰάδος, ἥτις ἑπτάϰις ονάδι μόνῃ μετρεῖται συνεστῶσα ἐϰ μονάδων ἑπτά, ἡ δ' ἐϰτὸς εϰάδος, ἀριϑμὸς οὗ πάντως ἀρχὴ μονὰς ϰατὰ τοὺς διπλασίους ἢ ›ιπλασίους ἢ συνόλως ἀναλογοῦντας ἀριϑμούς, ὡς ἔχει ὁ ἑξηϰοντα-ἔσσαρα | ϰαὶ ὁ ἑπταϰόσια εἰϰοσιεννέα, ὁ μὲν ϰατὰ τὸν ἀπὸ μονάδος p. 22 M. ιπλάσιον παραυξηϑείς, ὁ δ' αὖ ϰατὰ τὸν τριπλάσιον. ἑϰάτερον δ' ἶδος οὐ παρέργως ἐπισϰεπτέον. τὸ μὲν δὴ δεύτερον ἐμφανεστάτην χει προνομίαν· αἰεὶ γὰρ ὁ ἀπὸ μονάδος συντιϑέμενος ἐν διπλασίοις τριπλασίοις ἢ συνόλως ἀναλογοῦσιν ἕβδομος ἀριϑμὸς ϰύβος τε ϰαὶ

1 τελείου *VM* : τελείαν ***ab*** cf. p. 4,1. 14,18 3 verba ἀλλὰ τοῦ παντός m. *F* 4 γενέϑλιον *VMF**a*** : γενέσιον ***b*** 5 ἱϰανῶς] ἱϰανὸς *ABD*, ἱϰανὸς ξίως *M* ἂν ὑμνῆσαι scripsi: ἀνυμνῆσαι *codd.* cf. p. 1,15 7 τοῦτ' V^h, οὗτο *M* ἀλλὰ *V* 8 ἐφειϰτὰ *V* 10 συνεστῶσα δ' ἐϰ *M* ἡ δ' ἐϰτὸς εϰάδος scripsi: ἡ δὲ τῆς ἑβδομάδος *V*, ἡ δὲ τῆς ἑβδομάδος ἐϰτὸς ***ab***, ἡ δὲ πτάς, ἕβδομος *M* 11 ἀριϑμεῖς *D* οὗ] οὐ *V* πάντων *D* ϰατὰ τοὺς ιπλασίους: hic desinit *V* 16 ἀεὶ *ABC* 17 ἕβδομος] ἑβδομάδος *M*

1 sqq. de vit. Mos. II 166 sq. μετὰ δὲ τὴν τοῦ γεννητοῦ τῶν ὅλων τιμὴν τὴν ἱερὰν ἑβδόμην ἐσέμνυνεν ὁ προφήτης ἰδὼν αὐτῆς ὀξυωπεστέροις ὄμμασι ϰάλλος ἐξαίσιον ἐνεσφραγισμένον οὐρανῷ τε ϰαὶ τῷ σύμπαντι ϰόσμῳ· . . . . εἶτ' ἐϰ τρίτου ϰατενόησεν αὐτὴν ἐξετάζων ϰαὶ ϰόσμου γενέϑλιον, ἣν ἑορτάζει μὲν οὐρανός, ἑορτάζει δὲ γῆ ϰαὶ τὰ ἐν γῇ, γανύμενα ϰαὶ ἐνευφραινόμενα τῇ παναρμονίῳ ἑβδομάδι. de victim. II 239 ταῖς δ' ἑβδόμαις διπλασιάζει τὸν τῶν ἱερείων ἀριϑμόν, ἴσα προστιϑεὶς ἴσοις, ἰσότιμον ἡγούμενος τὴν ἑβδόμην αἰῶνι, ἣν ϰαὶ γενέϑλιον τοῦ ϰόσμου παντὸς ἀνέγραψεν. de septenn. II 281 ἑβδομὰς δ' ἀμιγέστατος ϰαὶ φῶς, εἰ χρὴ τἀληϑὲς εἰπεῖν, ἑξάδος· ἃ γὰρ ἐγέννησεν ἑξάς, ταῦϑ' ἑβδομὰς τελεσφορηϑέντα ἐπεδείξατο· παρ' ὃ ϰαὶ γενέϑλιος τοῦ ϰόσμου δεόντως ἂν προσαγορεύοιτο. ibid. 284 . . . τὴν τοῦ ϰόσμου γενέϑλιον ἡμέραν ἑορτάζων.
16 de septenn. II 277 sq. (Tischendorf Philon. p. 15,9) τὰ μὲν οὖν περὶ τῆς ἐν ἀριϑμοῖς ἑβδόμης εἴρηται διὰ μαϰροτέρων πρότερον ἥν τε ἔχει φύσιν ἐν δεϰάδι ϰαὶ ἣν συγγένειαν πρός τε αὐτὴν δεϰάδα ϰαὶ πρὸς τετράδα τὴν δεϰάδος ἀρχήν τε ϰαὶ πηγὴν ϰαὶ ὡς συντεϑεῖσα μὲν ἀπὸ μονάδος ἑξῆς γεννᾷ τὸν ὀϰτὼ ϰαὶ εἴϰοσι τέλειον ἀριϑμόν, τοῖς αὑτοῦ μέρεσιν ἴσον, εἰς ἀναλογίαν ἀχϑεῖσα ϰύβον ὁμοῦ ϰαὶ τετράγωνον ἀποτελεῖ.

τετράγωνός ἐστιν, ἀμφότερα τὰ εἴδη περιέχων τῆς τ' ἀσωμάτου καὶ σωματικῆς οὐσίας, τῆς μὲν ἀσωμάτου κατὰ τὴν ἐπίπεδον ἣν ἀποτελοῦσι τετράγωνοι, τῆς δὲ σωματικῆς κατὰ τὴν στερεὰν ἣν ἀποτελοῦσι κύβοι. σαφεστάτη δ' οἱ λεχθέντες ἀριθμοὶ πίστις· αὐτίκα ὁ ἀπὸ μονάδος ἐν διπλασίονι λόγῳ παραυξηθεὶς ἕβδομος, ὁ τέσσαρα καὶ ἑξήκοντα, τετράγωνος μέν ἐστιν ὀκτάκις ὀκτὼ πολυπλασιασθέντων, κύβος δὲ τεσσάρων ἐπὶ τέσσαρα τετράκις. καὶ πάλιν ὁ ἐν τριπλασίονι λόγῳ παραυξηθεὶς ἀπὸ μονάδος ἕβδομος, ὁ ἑπτακόσια εἰκοσιεννέα, τετράγωνος μὲν πολυπλασιασθέντος ἐφ' αὑτὸν τοῦ ἑπτὰ καὶ εἴκοσι, κύβος δὲ τοῦ ἐννέα ἐφ' αὑτὸν ἐννάκις. καὶ ἀεὶ τὸν ἕβδομον ποιούμενός τις ἀντὶ μονάδος ἀρχὴν καὶ παραύξων κατὰ τὴν αὐτὴν ἀναλογίαν ἄχρις ἑβδομάδος εὑρήσει πάντως τὸν παραυξηθέντα κύβον τε καὶ τετράγωνον· ἀπὸ γοῦν τοῦ ἑξηκοντατέσσαρα ὁ συντεθεὶς ἐν διπλασίονι λόγῳ γεννήσει ἕβδομον τὸν τετρακισχίλια καὶ ἐνενηκονταέξ, τετράγωνον ὁμοῦ καὶ κύβον, τετράγωνον μὲν αὐτὸν πλευρὰν ἔχοντα τὸν ἑξηκοντατέσσαρα, κύβον δὲ τὸν ἑκκαίδεκα.

31. Μεταβατέον δὲ καὶ ἐπὶ θάτερον ἑβδομάδος εἶδος τὸ περιεχόμενον ἐν δεκάδι, θαυμαστὴν ἐπιδεικνύμενον καὶ οὐκ ἐλάττονα τοῦ προτέρου φύσιν. αὐτίκα συνέστηκε τὰ ἑπτὰ ἐξ ἑνὸς καὶ δυοῖν καὶ τεττάρων ἐχόντων δύο λόγους ἁρμονικωτάτους, τόν τε διπλάσιον καὶ τετραπλάσιον, τὸν μὲν τὴν διὰ πασῶν συμφωνίαν, τὸν δὲ τετραπλάσιον τὴν δὶς διὰ πασῶν ἀποτελοῦντα. περιέχει δὲ καὶ διαιρέσεις ἄλλας ζυγάδην τρόπον τινὰ συνεστῶσα ἑβδομάς· διαιρεῖται γὰρ πρῶτον μὲν εἰς μονάδα καὶ ἑξάδα, ἔπειτ' εἰς δυάδα καὶ πεντάδα καὶ τελευταῖον εἰς τριάδα καὶ τετράδα. μουσικωτάτη δὲ καὶ ἡ τούτων ἀναλογία τῶν ἀριθμῶν· τὰ μὲν γὰρ ἓξ πρὸς ἓν λόγον ἔχει

---

2 οὐσίας] φύσεως οὐσίας *M*, ἰδέας *E* (teste Mangeio) ἀποτελοῦσι (κα supra) *M* 3 τετράγωνοι (ι in ras.) *F*, τετράγωνον (οι supra) *M*: τετράγωνον ***ab*** στερεὰν *M* (coni. Mangey): ἑτέραν *ceteri* 4 κύβον ***ABC*** σαφεστάτη] σαφέστατα τῇ *M* 5 ὁ om. ***FHIK*** ἕβδομος om. *C* 5/6 ὁ ξδ' ***ABC*** 6 πολλαπλασιασθέντων *M* 7 ὁ] ὅς *F* 8 ἑπτακόσια καὶ εἴκοσι καὶ ἐννέα *M* 9 ἐφ' αὑτὸν scripsi: ἐπ' αὐτὸν *codd.* 10 ἐφ' αὑτὸν ἐννάκις *M*: ἐπ' αὐτὸν ἐννάκις ***Fa***, ἐφ' αὑτὸν om. ***b*** 11 ἀντὶ ***b***: ἀπὸ ***Ma*** 12 ἐπαυξηθέντα *F* 13 τοῦ ξδ' ***ABC***, τῶν ἑξήκοντα *F* συντιθεὶς *B* 14 καὶ om. ***AB*** ϛϛ' ***AB*** 15 πλευρὰν ***MFa***: πλευρὸν ***b*** 16 τὸν ξδ' ***AB*** ἑξκαίδεκα *M*, ιϛ' ***AB*** 19 συνέστη τοῦ ἑπτὰ *M* 20 τε] δὲ *M* 21 καὶ τετραπλάσιον om. *D* τὴν om. *M* 22 τὴν] τὸν ***MBD*** 23 ζυγάδην scripsi: ζυγάδι *M*, ζυγώδη ***ab*** τινὰς συνεστώσας ἑβδομάδας *M* 26 ἀπολογία (να supra) *M* πρὸς ἕνα *M* λόγον ἔχει *M*: ἔχει λόγον *ceteri*

ιπλάσιον, ὁ δ᾽ ἑξαπλάσιος λόγος τὸ μέγιστον ἐν τοῖς οὖσι ποιεῖ ίστημα, ᾧ διέστηκε τὸ ὀξύτατον ἀπὸ τοῦ βαρυτάτου, καθάπερ :οδείξομεν, ὅταν ἀπὸ τῶν ἀριθμῶν μετέλθωμεν ἐπὶ τὸν ἐν ἁρμο-ιις λόγον· τὰ δὲ πέντε πρὸς δύο πλείστην ἐν ἁρμονίᾳ δύναμιν ιδείκνυται, σχεδὸν ἐνάμιλλον τῇ διὰ πασῶν, ὅπερ ἐν τῇ κανονικῇ :ωρίᾳ σαφέστατα παρίσταται· τὰ δὲ τέσσαρα πρὸς τρία | τὴν p. 23 M. ιώτην ἁρμονίαν ἀποτελεῖ τὴν ἐπίτριτον, ἥτις ἐστὶ διὰ τεσσάρων.

32. Ἐπιδείκνυται δὲ καὶ ἕτερον κάλλος αὐτῆς ἑβδομὰς ἱερώ-ιτον νοηθῆναι. συνεστῶσα γὰρ ἐκ τριάδος καὶ τετράδος τὸ ἐν τοῖς ὶσιν ἀκλινὲς καὶ ὀρθὸν φύσει παρέχεται· ὃν δὲ τρόπον, δηλωτέον. ὁ ὀρθογώνιον τρίγωνον, ὅπερ ἐστὶν ἀρχὴ ποιοτήτων, ἐξ ἀριθμῶν ινέστηκε τοῦ τρία καὶ τέσσαρα καὶ πέντε· τὰ δὲ τρία καὶ τέσ-ιρα, ἅπερ ἐστὶν ἑβδομάδος οὐσία, τὴν ὀρθὴν γωνίαν ἀποτελεῖ· ἡ ἐν γὰρ ἀμβλεῖα καὶ ὀξεῖα τὸ ἀνώμαλον καὶ ἄτακτον καὶ ἄνισον ιφαίνουσιν· ἀμβλυτέρα γὰρ καὶ ὀξυτέρα γίνεται ἑτέρα ἑτέρας· ὀρθὴ ᾽ οὐκ ἐπιδέχεται σύγκρισιν οὐδ᾽ ὀρθοτέρα γίνεται παρ᾽ ἑτέραν, ἀλλ᾽ ι ὁμοίῳ μένει τὴν ἰδίαν φύσιν οὔποτ᾽ ἀλλάττουσα. εἰ δὴ τὸ μὲν ρθογώνιον τρίγωνον σχημάτων καὶ ποιοτήτων ἐστὶν ἀρχή, τούτου ὲ τὸ ἀναγκαιότατον, τὴν ὀρθὴν γωνίαν, ἡ οὐσία τῆς ἑβδομάδος :αρέχεται, τριὰς ὁμοῦ καὶ τετράς, νομίζοιτ᾽ ἂν εἰκότως ἥδε πηγὴ :αντὸς σχήματος καὶ πάσης ποιότητος. Πρὸς δὲ τοῖς εἰρημένοις :ἀκεῖνο λέγοιτ᾽ ἂν δεόντως ὅτι τὰ μὲν τρία ἐπιπέδου σχήματός ἐστιν ἰριθμός, — ἐπειδὴ σημεῖον μὲν κατὰ μονάδα, γραμμὴ δὲ κατὰ δυάδα, :πίπεδον δὲ κατὰ τριάδα τέτακται — τὰ δὲ τέσσαρα στερεοῦ κατὰ

1/2 ποιεῖ διάστημα *M*: διάστημα ποιεῖ *ceteri* 3 ἐπιδείξομεν *M*[h] ἐπὶ *M*: ἰς *ceteri* τὸν ἐν om. *D* ἐν ἁρμονίαις *Ma*: ἐναρμονίας *b* 4 πρὸς τὰ ὺο *M* ἐν ἁρμονίᾳ] ἐναρμόνιον *M* τὴν δύναμιν *M* 5 ἐπιδείκνυνται *BD* ἀνάμιλλον *ABD*, ἀναμέλλον *C* 6 δὲ om. *M* 7 ἁρμονίαν] ἐναρμονίαν *L* (Turn.) ἐπιτελεῖ *M*[h]*BD* 8 καὶ om. *a* αὐτῆς] αὐτῆς *codd.* 9 τριάδος] δυάδος *BD* 11 τριγώνιον *HI*, τρίγωνον om. Turn. 12 καὶ τοῦ τέσσαρα *BD* 14 ἀνώ-ιαλλον *HI*, ἀνωμαλὲς *M*[h] καὶ ante ἄνισον om. *F* 15 καὶ *codd.*: ἢ Mang. γίνεται *Mb*: γέγονεν *ABC*, om. *D* ἑτέρα ἑτέρας *M*: ἑτέρα om. *ceteri* 16 παρ᾽ ἑτέραν *M*: ἑτέρα παρ᾽ ἑτέραν *ceteri* ἀλλ᾽ ἐν ὁμοίῳ *codd.*: ἀλλὰ καὶ ἐν ὁμοίῳ Turn., ἀλλ᾽ ὀρθογώνιον ἐν ὁμοίῳ Mang. 17 εἰ δὴ] εἴδει *M*, εἰ δὲ Mang. τὸ μὲν *M*: μὲν om. *ceteri* 18 ὀρθόγωνον *b* ἀρχή ἐστιν *C* τούτου] τοῦ *C* 19 ἀναγκαιοτάτων *D*, ἀναγκαιότατον μέρος *M* 20 ἥδε] ἡ δὲ *Db* 23 μὲν *MFa*: μέν ἐστι *b*

---

11 de vit. Mos. II 147 . . . τοῦ ὀρθογωνίου τριγώνου, ὅπερ ἐστὶ τῆς τῶν ὅλων γενέσεως ἀρχή.

τὴν τοῦ ἑνὸς πρόσθεσιν, βάθους ἐπιπέδῳ προστεθέντος· ἐξ οὗ δῆλόν ἐστιν ὅτι ἡ τῆς ἑβδομάδος οὐσία γεωμετρίας καὶ στερεομετρίας ἀρχὴ καὶ συνελόντι φράσαι ἀσωμάτων ὁμοῦ καὶ σωμάτων.

33. Τοσοῦτο δ' ἐν ἑβδομάδι πέφυκεν εἶναι τὸ ἱεροπρεπές, ὥστ' ἐξαίρετον ἔχει λόγον παρὰ τοὺς ἐν δεκάδι πάντας ἀριθμούς· ἐκείνων γὰρ οἱ μὲν γεννῶσιν οὐ γεννώμενοι, οἱ δὲ γεννῶνται μέν, οὐ γεννῶσι δέ, οἱ δ' ἀμφότερα καὶ γεννῶσι καὶ γεννῶνται· μόνη δ' ἑβδομὰς ἐν οὐδενὶ μέρει θεωρεῖται. τὴν δ' ὑπόσχεσιν ἀποδείξει βεβαιωτέον. τὸ μὲν οὖν ἓν γεννᾷ τοὺς ἑξῆς ἅπαντας ἀριθμοὺς ὑπ' οὐδενὸς γεννώμενον τὸ παράπαν· τὰ δ' ὀκτὼ γεννᾶται μὲν ὑπὸ τοῦ δὶς τέσσαρα, γεννᾷ δ' οὐδένα τῶν ἐν δεκάδι· ὁ δ' αὖ τέσσαρα τὴν ἀμφοῖν καὶ γονέων καὶ ἐκγόνων ἔχει τάξιν· γεννᾷ μὲν γὰρ τὰ ὀκτὼ δὶς γενόμενος, γεννᾶται δ' ὑπὸ τοῦ δὶς δύο. μόνος δ' ὡς ἔφην ὁ ἑπτὰ οὔτε p. 24 M. γεννᾶν πέφυκεν οὔτε γεννᾶσθαι. δι' ἣν | αἰτίαν οἱ μὲν ἄλλοι φιλόσοφοι τὸν ἀριθμὸν τοῦτον ἐξομοιοῦσι τῇ ἀμήτορι Νίκῃ καὶ Παρθένῳ, ἣν ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναφανῆναι λόγος ἔχει, οἱ δὲ Πυθαγόρειοι τῷ ἡγεμόνι τῶν συμπάντων· τὸ γὰρ μήτε γεννῶν μήτε γεννώμενον ἀκίνητον μένει· ἐν κινήσει γὰρ ἡ γένεσις, ἐπεὶ ⟨καὶ τὸ γεννῶν⟩

1 τὴν τοῦ om. *D*, τοῦ om. *B* πρόθεσιν *F* 2 στερεωμετρίας *b* 4 τοσοῦτον *MF* εἶναι] εἶ *D* verba ὥστ' ἐξαίρετον sqq. usque ad 37,12 ἰσούμενον om. *M* 5 ἔχει *codd.*: ἔχειν *edd.* παρὰ] περὶ *a* ἐν δεκάδι] ἐντὸς δεκάδος *F*[2] 6 μὴ γεννώμενοι *a* verba γεννῶνται μέν — 7 γεννῶσι καὶ om. *C* 7 ἐν om. *a* 8 ἀποδείξει *F* (correxerat Turnebus): ἀποδεῖξαι *ceteri* βεβαιωτέον] βεβαιοτέραν *a* 9 ἅπαντας ἑξῆς *BD* 10 τὰ] τὸ *D* ὑπὸ *Fa*: ἀπὸ *b* τέσσαρες *D*, δ' *AB* 11 τὴν αμφοῖν *F*: τὸν ἀμφοῖν *a*, τὴν αὐτὴν *b* 12 τὰ ὀκτὼ *a*: τὰ om. *KL*, τὸ ὀκτὼ *F*[1]*HI*, τὸν ὀκτὼ *F*[2] γενόμενος *Fa*: γεννώμενος *b* 18 καὶ τὸ γεννῶν add. Markland

5 sqq. Leg. alleg. I 46 κατά τινα λόγον οἱ ἐντὸς δεκάδος ἀριθμοὶ γεννῶνται ἢ γεννῶσι τοὺς ἐντὸς δεκάδος καὶ αὐτήν· ἡ δέ γ' ἑβδομὰς οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος ἀριθμῶν οὔτε γεννᾶται ὑπό τινος. παρ' ὃ μυθεύοντες οἱ Πυθαγόρειοι τῇ ἀειπαρθένῳ καὶ ἀμήτορι αὐτὴν ἀπεικάζουσιν, ὅτι οὔτ' ἀπεκυήθη οὔτ' ἀποτέξεται. 15 de vit. Mos. II 166 εὕρισκε γὰρ αὐτὴν (ἑβδομάδα) τὸ μὲν πρῶτον ἀμήτορα γενεᾶς τῆς θήλεος ἀμέτοχον, ἐκ μόνου πατρὸς σπαρεῖσαν ἄνευ σπορᾶς καὶ γεννηθεῖσαν ἄνευ κυήσεως· ἔπειτα δ' οὐ ταῦτα μόνον κατεῖδεν ὅτι παγκάλη καὶ ἀμήτωρ, ἀλλ' ὅτι καὶ ἀειπάρθενος, οὔτ' ἐκ μητρὸς οὔτε μήτηρ οὔτ' ἐκ φθορᾶς οὔτε φθαρησομένη. de decal. II 198 ἥδε (ἑβδομὰς) γάρ ἐστιν ἡ ἐν ἀριθμοῖς παρθένος, ἡ ἀμήτωρ φύσις, ἡ μονάδος οἰκειοτάτη καὶ ἀρχῆς. de septenn. II 281 . . . ἡ δι' ἓξ ἡμερῶν ἱερὰ ἑβδόμη· ἣν οἱ μὲν ὠνόμασαν παρθένον εἰς τὴν ὑπερβάλλουσαν ἁγνείαν ἀπιδόντες αὐτῆς, οἱ δ' αὐτοὶ καὶ ἀμήτορα σπαρεῖσαν ἐκ μόνου τοῦ πατρὸς τῶν ὅλων, ἰδέαν τῆς ἄρρενος γενεᾶς, ἀμέτοχον τῆς πρὸς γυναικῶν· ἀνδρειότατος γὰρ καὶ ἀλκιμώτατος ὁ ἀριθμός, εὖ πεφυκὼς πρὸς ἀρχὴν καὶ ἡγεμονίαν.

κὶ τὸ γεννώμενον οὐκ ἄνευ κινήσεως, τὸ μὲν ἵνα γεννήσῃ, τὸ δ' ἵνα ͅεννῆται· μόνον δ' οὔτε κινοῦν οὔτε κινούμενον ὁ πρεσβύτερος ͅρχων καὶ ἡγεμών, οὗ λέγοιτ' ἂν προσηκόντως εἰκὼν ἑβδομάς. ͅαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις· „Ἔστι γάρ, φησίν, ͅγεμὼν καὶ ἄρχων ἁπάντων θεός, εἷς, ἀεὶ ὤν, μόνιμος, ἀκίνητος, ͅὐτὸς αὑτῷ ὅμοιος, ἕτερος τῶν ἄλλων."

34. Ἐν μὲν οὖν τοῖς νοητοῖς τὸ ἀκίνητον καὶ ἀπαθὲς ἐπιδείκνυται ἑβδομάς, ἐν δὲ τοῖς αἰσθητοῖς μεγάλην καὶ συνεκτικωτάτην ͅύναμιν, * * * οἷς τὰ ἐπίγεια πάντα πέφυκε βελτιοῦσθαι, σελήνης ͅε περιόδοις· ὃν δὲ τρόπον, ἐπισκεπτέον. ἀπὸ μονάδος συντεθεὶς ͅξῆς ὁ ἑπτὰ ἀριθμὸς γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον καὶ τοῖς ͅὐτοῦ μέρεσιν ἰσούμενον· ὁ δὲ γεννηθεὶς ἀριθμὸς ἀποκαταστατικός ͅστι σελήνης, ἀφ' οὗ ἤρξατο σχήματος λαμβάνειν αὔξησιν αἰσθητῶς, ͅἰς ἐκεῖνο κατὰ μείωσιν ἀνακαμπτούσης· αὔξεται μὲν γὰρ ἀπὸ τῆς πρώτης μηνοειδοῦς ἐπιλάμψεως ἄχρι διχοτόμου ἡμέραις ἑπτά, εἶθ' ἑτέραις τοσαύταις πλησιφαὴς γίνεται καὶ πάλιν ὑποστρέφει διαυλοδρομοῦσα τὴν αὐτὴν ὁδόν, ἀπὸ μὲν τῆς πλησιφαοῦς ἐπὶ τὴν διχότομον ἑπτὰ πάλιν ἡμέραις, εἶτ' ἀπὸ ταύτης ἐπὶ τὴν μηνοειδῆ ταῖς ἴσαις, ἐξ ἧς ὁ λεχθεὶς ἀριθμὸς συμπεπλήρωται. Καλεῖται δ' ἡ ἑβδομὰς ὑπὸ τῶν κυρίως τοῖς ὀνόμασιν εἰωθότων χρῆσθαι καὶ τελεσφόρος,

2 γεννῆται Mangey: γένηται *codd.* 5 ἡγεμὼν *b* : ὁ ἡγεμὼν *a* εἷς] εἶ *b* 6 αὑτῷ] αὐτῷ *b* 7 καὶ ἀπαθὲς om. *F* 8 verba μεγάλην — 9 βελτιοῦσθαι om. *F* 9 ante οἷς non nulla intercidisse videri monuit Mangey coll. Clem. Alex. Strom. VI 813 οἷς *a* : ἧς *b* πέφυκε om. *D* 11 τὸν] τὸ *A* εἰκοσιοκτὼ *BD*, κη' *AC* 12 αὑτοῦ] αὐτοῦ *codd.* ἀποτελεστικός *F* (γρ. ἀποκαταστατικός *F*² in marg.) 14 ἐκεῖνον *C* ἀνακαπτούσης *I* μὲν γὰρ *MFa* : γὰρ om. *b* 15 μονοειδοῦς *F*¹*HIL*, μονοειδοῦς (η superscr.) *K* ἡμέρας *ABC* 16 τοσαύταις] ἴσαις *M* καὶ πάλιν] κἄπειθ' *M* 17 πλησιοφαοῦς *D* 18 μονοειδῆ *F*¹, corr. *F*² 19 ἐξῆς] ἐξ ἧς *AFHIL*, ἐξῆς corr. ex ἐξ ἧς *K*, ἐξ ὧν *M* λεχθεὶς] ῥηθεὶς *BD* ἡ om. *D* 20 τοῖς ὀνόμασιν εἰωθότων χρῆσθαι *MFa* : τοῖς εἰωθόσιν ὀνόμασι χρωμένων *b*

9 Clem. Alex. Strom. VI 813 ἑπτὰ μέν εἰσιν οἱ τὴν μεγίστην δύναμιν ἔχοντες πρωτόγονοι ἀγγέλων ἄρχοντες, ἑπτὰ δὲ καὶ οἱ ἀπὸ τῶν μαθημάτων τοὺς πλάνητας εἶναί φασιν ἀστέρας τὴν περίγειον διοίκησιν ἐπιτελοῦντας, ὑφ' ὧν κατὰ συμπάθειαν οἱ Χαλδαῖοι πάντα γίνεσθαι νομίζουσι τὰ περὶ τὸν θνητὸν βίον, παρ' ὃ καὶ περὶ τῶν μελλόντων λέγειν τινὰ ὑπισχνοῦνται, τῶν δὲ ἀπλανῶν ἑπτὰ μὲν αἱ πλειάδες, ἑπτάστεροι δὲ αἱ ἄρκτοι, καθ' ἃς αἱ γεωργίαι καὶ ναυτιλίαι συμπεραιοῦνται, ἡ σελήνη τε δι' ἑπτὰ ἡμερῶν λαμβάνει τοὺς μετασχηματισμούς. 11 de vit. Mos. II 148 . . . καὶ τὸν ὀκτὼ καὶ εἴκοσιν ἀριθμὸν τέλειον, ἴσον τοῖς ἑαυτοῦ μέρεσιν. de septenn. II 278 . . . καὶ ὡς (ἑβδομάς) συντεθεῖσα μὲν ἀπὸ μονάδος ἑξῆς γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον ἀριθμόν, τοῖς αὑτοῦ μέρεσιν ἴσον. 20 de septenn. II 281 ἑβδομὰς δ' ἀμιγέστατος (ἀριθμός) καὶ φῶς, εἰ

ἐπειδὴ ταύτῃ τελεσφορεῖται τὰ σύμπαντα. τεκμηριώσαιτο δ' ἄν τις ἐκ τοῦ πᾶν σῶμα ὀργανικὸν τρισὶ μὲν κεχρῆσθαι διαστάσεσι, μήκει, πλάτει καὶ βάθει, τέτταρσι δὲ πέρασι, σημείῳ καὶ γραμμῇ καὶ ἐπιφανείᾳ καὶ στερεῷ, δι' ὧν συντεθέντων ἀποτελεῖται ἑβδομάς. ἀμήχανον δ' ἦν τὰ σώματα ἑβδομάδι μετρεῖσθαι κατὰ τὴν ἐκ διαστάσεων τριῶν καὶ περάτων τεττάρων σύνθεσιν, εἰ μὴ συνέβαινε τὰς τῶν πρώτων ἀριθμῶν ἰδέας ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεττάρων, οἷς θεμελιοῦται δεκάς, ἑβδομάδος φύσιν περιέχειν· οἱ γὰρ λεχθέντες ἀριθμοὶ τέσσαρας μὲν ἔχουσιν ὅρους, τὸν πρῶτον, τὸν δεύτερον, τὸν p. 25 M. τρίτον, τὸν τέταρτον, διαστάσεις δὲ τρεῖς· πρώτη μὲν διάστασις | ἡ ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὰ δύο, δευτέρα δ' ἡ ἀπὸ τῶν δυοῖν ἐπὶ τὰ τρία, τρίτη δ' ἡ ἀπὸ τῶν τριῶν ἐπὶ τὰ τέσσαρα.

35. Δίχα δὲ τῶν εἰρημένων ἐναργέστατα παριστᾶσι τὴν τελεσφόρον δύναμιν ἑβδομάδος καὶ αἱ ἐκ βρέφους ἄχρι γήρως ἀνθρώπων ἡλικίαι μετρούμεναι ταύτῃ· κατὰ μὲν οὖν τὴν πρώτην ἑπταετίαν ἔκφυσις ὀδόντων ἐστί· κατὰ δὲ τὴν δευτέραν καιρὸς τοῦ δύνασθαι προΐεσθαι σπέρμα γόνιμον· τρίτῃ δὲ γενείων αὔξησις καὶ τετάρτῃ πρὸς ἰσχὺν ἐπίδοσις· πέμπτῃ δ' αὖ γάμων ὥρα· ἕκτῃ δὲ συνέσεως ἀκμή· τῇ δ' ἑβδόμῃ βελτίωσις ἀμφοῖν καὶ συναύξησις, νοῦ καὶ λόγου· ὀγδόῃ δ' ἡ ἐν ἑκατέρῳ τελείωσις· κατὰ δὲ τὴν ἐνάτην ἐπιείκεια καὶ πρᾳότης τῶν παθῶν ἐπὶ πλέον ἡμερωθέντων· κατὰ δὲ τὴν δεκάτην τοῦ βίου τὸ εὐκταῖον τέλος, ἔτι τῶν ὀργανικῶν μελῶν συνεστηκότων· φιλεῖ γὰρ τὸ μακρὸν γῆρας ἕκαστον ὑποσκελίζειν καὶ παραιρεῖσθαι. τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης ἐλεγεῖα ποιήσας τάδε·

3 πλάτει καὶ βάθει *F*: βάθει καὶ πλάτει *ceteri* τέτταρσι] τέτρασι *codd.* 4 καὶ ἐπιφανείᾳ ante καὶ γραμμῇ *B* ἐπιφανίᾳ *D* δι' om. *M* 5 ἦν] ἂν ἦν Pfeiffer et Richter 6 περάτων τεττάρων (vel τεσσάρων) *MFa*: τεττάρων om. *b* 8 θεμελιοῦται] τελειοῦται *M* 10 πρώτη μὲν οὖν *M* ἡ ἀπὸ τοῦ ἑνὸς *M*: ἡ om. *ceteri* 11 δευτέρα δὲ ἡ *MD*: δὲ om. *ceteri* δυεῖν *b* (non *F*) 12 τρίτη δὲ *M*: δὲ om. *ceteri* ἡ om. *b* (non *F*) 13 δὲ om. *I* παρίστησι *M* 14 αἱ om. *I* ἀνθρώπων ἡλικίαι *MFa*: ἀνθρώπων om. *b* 15 οὖν om. *a* 18 τετάρτῃ ἡ *M* δ' αὖ *M*: τε αὖ *ceteri* γάμων ὥρα ἡ ἐπ' ἄκρον δύναμις *M* 19 τῇ ἑβδόμῃ *M* συναύξησις om. *a* 20 ἡ om. *I* ἐν ἑκατέρᾳ *BD* 21 ἐννάτην *MACD*, ἐννέα *b*, Θ̄ *F* πλέων *I* 24 παραιρεῖσθαι] παρερεῖσθαι *D*, παρερρεῖσθαι *B*; παρίεσθαι (sic) τὰς ἡλικίας ταῦτα ἀνέγραψε *M* 25 ὁ νομοθέτης τῶν Ἀθηναίων *D*

χρὴ τἀληθὲς εἰπεῖν, ἐξάδος· ἃ γὰρ ἐγέννησεν ἑξάς, ταῦθ' ἑβδομὰς τελεσφορηθέντα ἐπεδείξατο.

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
  φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ᾽ ἔτεσιν·
τοὺς δ᾽ ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ᾽ ἐνιαυτούς,
  ἥβης ἐκφαίνει σήματα γιγνομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
  λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδ᾽ ἐστὶν ἄριστος
  ἰσχύν, ἥν τ᾽ ἄνδρες σήματ᾽ ἔχουσ᾽ ἀρετῆς·
πέμπτῃ δ᾽ ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
  καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ᾽ ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
  οὐδ᾽ ἕρδειν ἔθ᾽ ὁμῶς ἔργ᾽ ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ᾽ ἄριστος
  ὀκτώ τ᾽, ἀμφοτέρων τέσσαρα καὶ δέκ᾽ ἔτη·
τῇ δ᾽ ἐνάτῃ ἔτι μὴν δύναται, μαλακώτερα δ᾽ αὐτοῦ
  πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·

---

1 Solonis versus (frg. 27 Bergk) praeter Philonem tradunt Clemens lexandrinus Strom. VI 814, cod. Paris. 1843 ap. Cram. An. Par. I 46, postolius XIV 94 (*Ap.*), qui omnes hoc ipso Philonis loco usi sunt   2 φύσας ν ἕπτ᾽ ἔτεσι ἐκβάλλει πρῶτον *BD*; πρῶτον ἕπτ᾽ ἂν ἔτεσιν *cod. Cram.*   ἑπτὰ *HIK*   3 τελέσῃ *F* (Schaefer): τελέσει *ceteri*   4 ἐκφαίνει] δὴ φαίνει *M*, δὲ αίνει *cod. Cram.*, δὲ φανείσης *Clem. Al.*   σήματα] σπέρματα *Clem. Al.*   γιγνομένης *M*: γινομένης *a Ap.*, γεινομένης *b cod. Cram.*, γινομένων lem. *Al.*   5 τριτάτῃ] τρίτῃ *cod. Cram.*   γένεια *a Ap.*, γένει *cod. Cram.*   ἀεξόμενον *Clem. Al.*   ἔτι Bergk: ἐπὶ *codd.*   γυίων] γυῶν *M*, γύων *ABC*, ύω *D*, γενύων *Clem. Al.*   6 λαχνοῦνται *a*   7 πᾶς τις ἐν ἑβδομάδ᾽ στὶν ἄριστος Brunck: πᾶς τις ἐν ἑβδομάδι μέγ᾽ ἄριστος *Clem. Al.* (Bergk), ᾶσιν ἑβδομάδεσιν ἄριστος *M*, παῖς τις ἐν ἑβδομάδεσσιν ἄριστος *F cod. Cram.*, αῖς τις ἐν ἑβδομάσιν ἄριστος *a Ap.*, παῖς ἐν ἑβδομάδεσσιν ἄριστος *b*   8 ἥν τ᾽ *Clem. Al.*: ἥ τ᾽ *MHK*, ᾗ τ᾽ corr. ex ἥ τ᾽ *F*, ᾗ τ᾽ *ABC cod. Cram. Ap.*, ἰτ᾽ *D*, ὅτ᾽ *I*, οἵ τ᾽ *L*   ἄνδρες σήματ᾽] ἀνδρὸς μνήματ᾽ *M*   ἔχουσιν *F*[2]*a*   ἀρετᾶς *ABC Ap.*, ἀρετὰς *D*   9 ὥριον] ὥρῃ *a Ap.*, ὡρίου Bergk   γάμου μεμνημένον εἶναι] μεμνημένον γάμου εἶναι *b*   10 εἰσοπίσω *Clem. Al.* (Mang.): ἐξοπίσω *ceteri*   11 καταρτύνεται *a Ap.*, καρτύνεται *Clem. Al.*   12 οὐδ᾽] ἐν δ᾽ *cod. Cram.*   οὐδ᾽ ἐσιδεῖν ἔθ᾽ ὁμοίως ἔργα μάταια θέλει *Clem. Al.*   ἔθ᾽ ὁμῶς] ἔσθ᾽ ὅμως *b* (non *F*)   13 νοῦ *b* (νοῦν *F*)   καὶ] ἢ *M*   μέγ᾽ ἄριστος *M Clem. Al.*: μετ᾽ ἀρίσταις *ceteri*   14 ὀκτώ τ᾽ Mangey: ὀκτὼ δ᾽ *codd.*   ἀμφο- α τέρων Mangey: ἀμφότερον *Clem. Al. cod. Cram.*, ἀμφότερα *ceteri*   τεσσαρεσκαίδεκ᾽ *F*, τεσσαρεσκαίδεκ᾽ *DHIL*, τεσσαρεσκαίδεκα *ABC*   15 ἐννάτῃ *AD*   μὴν *M*: μὲν *ceteri*   μαλακωτέρα *codd.*, μετριώτερα *Clem. Al.*   16 γλῶσσά τε καὶ σοφίη] σῶμά τε καὶ δύναμις *Clem. Al.*   καὶ om. *F*

τὴν δεκάτην δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

36. Ὁ μὲν οὖν Σόλων ἑβδομάσι δέκα ταῖς εἰρημέναις καταριθμεῖ τὸν ἀνθρώπινον βίον. ὁ δ' ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ p. 26 M. εἶναί φησι, παιδίου, | παιδός, μειρακίου, νεανίσκου, ἀνδρός, πρεσβύτου, γέροντος, ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. λέγει δ' οὕτως· „Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι, παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων· καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν ὀδόντων ἐκβολῆς· παῖς δ' ἄχρι γονῆς ἐκφύσιος, ἐς τὰ δὶς ἑπτά· μειράκιον δ' ἄχρι γενείου λαχνώσιος, ἐς τὰ τρὶς ἑπτά· νεανίσκος δ' ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά· ἀνὴρ δ' ἄχρις ἑνὸς δέοντος πεντήκοντα, ἐς τὰ ἑπτάκις ἑπτά· πρεσβύτης δ' ἄχρι πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ· τὸ δ' ἐντεῦθεν γέρων.“ Λέγεται δὲ κἀκεῖνο πρὸς διασύστασιν ἑβδομάδος ὡς θαυμαστὴν ἐχούσης ἐν τῇ φύσει τάξιν, ἐπεὶ συνέστηκεν ἐκ τριῶν καὶ τεττάρων· τὸν μὲν τρίτον ἀπὸ μονάδος εἰ διπλασιάζοι τις, εὑρήσει τετράγωνον, τὸν δὲ τέταρτον, κύβον, τὸν δ' ἐξ ἀμφοῖν ἕβδομον, κύβον ὁμοῦ καὶ τετράγωνον· ὁ μὲν οὖν ἀπὸ μονάδος τρίτος ἐν διπλασίονι λόγῳ τετράγωνός ἐστιν, ὁ δὲ τέταρτος, ὀκτώ, κύβος, ὁ δ' ἕβδομος, τέσσαρα πρὸς τοῖς ἑξήκοντα, κύβος ὁμοῦ καὶ τετράγωνος· ὡς εἶναι τελεσφόρον ὄντως τὸν ἕβδομον ἀριθμόν, ἀμφοτέρας τὰς ἰσότητας καταγγέλλοντα τήν τ' ἐπίπεδον διὰ τετραγώνου κατὰ τὴν πρὸς τριάδα συγγένειαν καὶ τὴν στερεὰν διὰ κύβου κατὰ τὴν πρὸς τετράδα οἰκειότητα· ἐκ τριάδος δὲ καὶ τετράδος ἑβδομάς.

---

1 τὴν δεκάτην δ' εἴ *M*: τῇ δεκάτῃ δ' εἰ *Fa cod. Cram. Ap.*, τῇ δεκάδ' εἰ *b* ἵκοιτο] ἥκοιτο *B* τῇ δεκάτῃ ὅτε δὴ τελέσῃ θεὸς ἑπτ' ἐνιαυτούς (οι) *Clem. Al.* (Bergk) 2 ἄορος *BD* ἔχῃ *A*, ἔχει *FD Clem. Al. Ap.* 3 δέκα] δὶς *F* προειρημέναις *M* 4 ὁ διὰ *C* verba ἰατρὸς — 5 μειρακίου om. *C* 5 νεανίσκου om. *D* πρεσβυτέρου *M^h* 6 ταῦτα *M* δὲ om. *D* 7 εἰσιν] εἴκοσιν *C* 8 μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων *M*: μειράκιον καὶ αἱ λοιπαὶ *ceteri* 10 ἐκφύσεως *codd.* ἐς (εἰς *MD*) τὰ δὶς ἑπτά *MFa* : ἑπτὰ δὶς ἑπτά *b* 11 λαχνήσεως *C*, λαχνώσεως *ceteri* εἰς *AB* verba ἐς τὰ τετράκις ἑπτὰ (12) ante νεανίσκος in *M* δ' om. *M* 12 αὐξήσεως *MBC* εἰς *ABC* verba ἀνὴρ — 13 ἑπτά om. *D* 13 ἐς *MFHIK* : εἰς *La* ἄχρι ἐτῶν πεντηκονταέξ *M* 14 εἰς *FABC* 15 δὲ] γὰρ *D* κἀκεῖνο om. *b* (habet *F*) διασύστασιν *codd.* : ἰδίαν σύστασιν Turn. 16 τεσσάρων *M* 17 διπλασιάζει *a* 18 καὶ om. *M* 21 τοῖς ἑξήκοντα *MF*² (*E* teste Mangeio) : τοῖς ἑπτά *F*¹ *b*, τὰ τρία *a* 22 καταγγέλλοντα] ἀποτελοῦσιν ἑπτὰ *M* 23 πρὸς τριάδα *M*: τριάδος *ceteri* 25 δὲ om. *a*

37. Ἔστι δ᾽ οὐ τελεσφόρος μόνον, ἀλλὰ καὶ ὡς ἔπος εἰπεῖν ἁρμονικωτάτη καὶ τρόπον τινὰ πηγὴ τοῦ καλλίστου διαγράμματος, ὃ πάσας μὲν τὰς ἁρμονίας, τὴν διὰ τεττάρων, τὴν διὰ πέντε, τὴν διὰ πασῶν, πάσας δὲ τὰς ἀναλογίας, τὴν ἀριθμητικήν, τὴν γεωμετρικήν, ἔτι δὲ τὴν ἁρμονικὴν περιέχει. τὸ δὲ πλινθίον συνέστηκεν ἐκ τῶνδε τῶν ἀριθμῶν, ἓξ ὀκτὼ ἐννέα δώδεκα· ὁ μὲν ὀκτὼ πρὸς ἓξ ἐν ἐπιτρίτῳ λόγῳ, καθ᾽ ὃν ἡ διὰ τεττάρων ἁρμονία ἐστίν· ὁ δ᾽ ἐννέα πρὸς ἓξ ἐν ἡμιολίῳ, καθ᾽ ὃν ἡ διὰ πέντε· ὁ δὲ δώδεκα πρὸς ἓξ ἐν διπλασίονι, καθ᾽ ὃν ἡ διὰ πασῶν. ἔχει δ᾽ ὡς ἔλεγον καὶ τὰς ἀναλογίας πάσας· ἀριθμητικὴν μὲν ἐκ τῶν ἓξ καὶ ἐννέα καὶ δώδεκα· οἷς γὰρ ὑπερέχει ὁ μέσος τοῦ πρώτου τρισίν, τούτοις ὑπερέχεται ὑπὸ τοῦ τελευταίου· γεωμετρικὴν δ᾽ ἐκ τῶν τεσσάρων· ὃν γὰρ λόγον ἔχει τὰ ὀκτὼ πρὸς ἕξ, | p. 27 M. τοῦτον τὰ δώδεκα πρὸς ἐννέα· ὁ δὲ λόγος ἐπίτριτος· ἁρμονικὴν δ᾽ ἐκ τριῶν, τοῦ ἓξ καὶ ὀκτὼ καὶ δώδεκα. ἁρμονικῆς δ᾽ ἀναλογίας διττὴ κρίσις· μία μέν, ὅταν ὃν λόγον ἔχει ὁ ἔσχατος [τοῦ μέσου] πρὸς τὸν πρῶτον τοῦτον ἔχῃ ἡ ὑπεροχὴ ᾗ ὑπερέχει ὁ ἔσχατος τοῦ μέσου πρὸς τὴν ὑπεροχὴν ᾗ ὑπερέχεται ὑπὸ τοῦ μέσου ὁ πρῶτος. ἐναργεστάτην δὲ πίστιν λάβοι τις ἂν ἐκ τῶν προκειμένων ἀριθμῶν, τοῦ ἓξ καὶ ὀκτὼ καὶ δώδεκα· ὁ μὲν γὰρ τελευταῖος τοῦ πρώτου διπλάσιος, ἡ δ᾽ ὑπεροχὴ πάλιν διπλασία· τὰ μὲν γὰρ δώδεκα τῶν ὀκτὼ τέτταρσιν ὑπερέχει, τὰ δ᾽ ὀκτὼ τῶν ἓξ δυσί· τὰ δὲ τέσσαρα τοῖν δυοῖν διπλάσια. ἑτέρα δὲ βάσανος τῆς ἁρμονικῆς ἀναλογίας, ὅταν ὁ μέσος τῶν ἄκρων ἴσῳ μορίῳ ὑπερέχῃ καὶ ὑπερέχηται· ὁ γὰρ ὄγδοος μέσος ὢν ὑπερέχει μὲν τοῦ πρώτου τρίτῳ μορίῳ· ὑφαιρεθέντων γὰρ τῶν ἕξ, τὰ λοιπὰ δύο τρίτον ἐστὶ

1 οὐ μόνον τελεσφόρος *M* 3 ὃ *MF*²: ἡ *F*¹*a*, ἢ *HIK*, ἣ corr. ex ἢ *L* τεσσάρων *B* 6 μὲν] μὲν οὖν *MF* 7 καθ᾽ ὃν scripsi : καθ᾽ ἣν *codd. edd.* τεσσάρων *MBD* 8 πρὸς τὰ ἓξ *F* καθ᾽ ὃν] καθ᾽ ἣν *codd. edd.* δὲ om. *D* 9 καθ᾽ ὃν] καθ᾽ ἣν *codd. edd.* ἡ διὰ πασῶν ς´ (sic) *M*, ὁ διὰ πασῶν *a* ἔχει] εἰ *M* 10 πάσας *MFa*: ἁπάσας *b* ἐκ τῶν] ἐν ταῖς *a* 11 οἷς *M*: ὡς *ceteri* ὑπερέχει] περιέχει *M* τούτοις ὑπερέχεται *M*: τούτοις om. *ceteri* 12 γεωμετρικὴ *a* ἐκ τῶν τεσσάρων Mangey (Markand): ἡ τῶν διὰ τεσσάρων *codd.* 13 πρὸς ἓξ *M*: πρὸς τὰ ἓξ *ceteri* πρὸς ἐννέα *MFHIK*: πρὸς τὰ ἐννέα *La*, πρὸς τὸν ἐννέα *edd.* 14 τοῦ πρὸς ἓξ *M* 15 μίαν *B* ὅταν om. *C* 16 ὁ ἔσχατος τοῦ μέσου *codd.* (τοῦ μέσου om. in ras. *F*): τοῦ μέσου del. Gelenius τοῦτον] τὸν αὐτὸν *BD* ἔχῃ (η suprascr.) *F*, ἔχει *K*: ἔχει *ceteri* ἡ ὑπεροχὴ om. *a* ᾗ] ἢ *F*¹*ABC*, ἣν *M*^h 17 ᾗ *M*: ἣν *ceteri* 19 τοῦ ἓξ τοῦ ὀκτὼ τοῦ δώδεκα *ABC* 21 γὰρ om. *FC* τέσσαρσιν *FABC* ὑπερέχει *F* (Mang.): ὑπερέχεται *ceteri* 22 τέτταρα *A* τῶν δυοῖν *ABC* 25 τρίτον *Mb*: τρίτα *AC*, τρία *BD*

τοῦ πρώτου· ὑπερέχεται δ' ὑπὸ τοῦ τελευταίου τῷ ἴσῳ· εἰ γὰρ ὑφαιρεθείη τῶν δώδεκα τὰ ὀκτώ, τὰ λοιπὰ τέσσαρα γίνεται τοῦ τελευταίου τρίτον.

38. Ταῦτα μὲν ἀναγκαίως περὶ σεμνότητος, ἣν ἔχει τὸ διάγραμμα ἢ πλινθίον ἢ ὅτι χρὴ καλεῖν, προειρήσθω. τοσαύτας ἰδέας καὶ ἔτι πλείους ἑβδομὰς ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐπιδείκνυται· διατείνει δ' αὐτῆς ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν ἅπασαν οὐσίαν, οὐρανὸν καὶ γῆν, τὰ πέρατα τοῦ παντός, φθάσασα. τί γὰρ οὐ φιλέβδομον τῶν ἐν τῷ κόσμῳ μέρος, ἔρωτι καὶ πόθῳ δαμασθὲν ἑβδομάδος; αὐτίκα τὸν οὐρανόν φασιν ἑπτὰ διεζῶσθαι κύκλοις, ὧν ὀνόματα εἶναι τάδε· ἀρκτικόν, ἀνταρκτικόν, θερινὸν τροπικόν, χειμερινὸν τροπικόν, ἰσημερινόν, ζωδιακόν, καὶ προσέτι γαλαξίαν· ὁ γὰρ ὁρίζων πάθος ἐστὶν ἡμέτερον, ὡς ἂν ὀξυωπίας ἔχῃ τις ἢ τοὐναντίον, ἀποτεμνομένης τῆς αἰσθήσεως τοτὲ μὲν ἐλάττω τοτὲ δὲ μείζω περιγραφήν. Οἵ γε μὴν πλάνητες, ἡ ἀντίρροπος στρατιὰ τῆς τῶν ἀπλανῶν, ἑπτὰ διακοσμοῦνται τάξεσι, πλείστην ἐπιδεικνύμενοι συμπάθειαν πρὸς ἀέρα καὶ γῆν· τὸν μὲν γὰρ εἰς τὰς ἐτησίους ἐπικαλουμένας ὥρας τρέπουσι καὶ μεταβάλλουσι καθ' ἑκάστην μυρίας ὅσας ἐμποιοῦντες μεταβολάς, νηνεμίαις, αἰθρίαις, νεφώσεσι, βίαις ἐξαισίοις πνευμάτων· πάλιν τε ποταμοὺς πλημμυροῦσι καὶ μειοῦσι καὶ πεδία λιμνάζουσι καὶ τοὐναντίον ἀφαυαίνουσι· καὶ πελαγῶν ἐργάζονται τροπὰς ἐξαναχωρούντων ἢ παλιρροίαις χρωμένων· εὐρεῖς γὰρ ἔστιν ὅτε κόλποι θαλάττης ὑποσυρείσης ἀμπώτεσι βαθὺς ἐξαίφνης αἰγιαλός εἰσι καὶ

1 verba τῷ ἴσῳ — 3 τελευταίου om. *C* 3 τρίτον ***Mb***: τρίτα *AC*, γ' *B*. τρία *D* 4 ἀναγκαῖον *F* 5 προειρήσθω *M*: προσειρήσθω *ceteri* 6 ἑβδομὰς *M*: ἡ ἑβδομὰς *ceteri* ἐν ἀσωμάτοις προκαλεῖται καὶ νοητῶς ***a*** 7 αὐτῆς om. *D* ὁρατὴν om. *I* 8 καὶ ante τὰ πέρατα add. *M* φθάσασαν Turn. 9 τῷ om. *BD* 11 τὰ ὀνόματα *D* 12 τροπικὸν post χειμερινὸν om. ***a*** ἰσημερινοὺς *M*[h] ζωδιακόν] δύο (sic) *M* καὶ προσέτι om. ***a*** 13 ἔχοι *ABC* 14 τῆς ὁράσεως *F* (in marg. γρ. αἰσθήσεως *F*[2]) τοτὲ μὲν — τοτὲ δὲ ***MFa***: τὸ μὲν — τὸ δὲ ***b*** 15 ἡ ἀντίρροπος *M*: ἥ τ' ἀντίρροπος *ceteri* στρατεία *M* τῆς om. *F* 17 το μὲν *F* 18 τρέπουσι καὶ μεταβάλλουσι *M*: καὶ μεταβάλλουσι om. *ceteri* καὶ μυρίας *M* ἐμποιοῦντες ***Fa***: ἐμποιοῦντα ***b***, ἐμποιοῦνται *M* 19 ἐξαισίοις *M*: ἐξαισίαις *ceteri* 20 τε] δὲ ***a*** ποταμοῖς ***MF***[1] 22 εὐρεῖς *F*: εὑρεῖν ***Mb***, εὐρείαις ***a*** (εὐρείας Mang.) ἔστιν ὅτε] εἰσὶν οἵ, τε *F* κόλποι ***Mb***: κόλπον ***a*** (Mang.) 23 θαλάσσης ***Fa*** ὑποσυράσαις ἀμπώτισι ***a*** βαθὺς ***F***[1]***ACb***: βαθεῖς *F*[2], ἐκ βάθους *M*, εὐθὺς *BD* αἰγιαλοὶ *M*. αἰγιαλοὺς *F*[2] εἰσὶ append. Turn.: εἴσεισι ***a***, ἴησι (sic) ***b***, om. *M*

15 Leg. alleg. I 45 χαίρει δ' ἡ φύσις ἑβδομάδι· πλάνητές τε γὰρ ἑπτὰ γεγόνασιν, ἀντίρροποι τῇ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχούσῃ φορᾷ.

.κρὸν ὕστερον ἀναχυθείσης πελάγη βαθύτατα οὐ βραχείαις ὁλκάσιν ἀλλὰ μυριοφόροις ναυσὶν ἐμπλεόμενα. καὶ μὲν δὴ τὰ ἐπί- p. 28 M. ια πάντα, ζῷά τ' αὖ καὶ φυτὰ καρποὺς γεννῶντα, αὔξουσι καὶ λεσφοροῦσι, τὴν ἐν ἑκάστοις φύσιν δολιχεύειν παρασκευάζοντες, ὡς α παλαιοῖς ἐπανθεῖν καὶ ἐπακμάζειν πρὸς χορηγίας ἀφθόνους τῶν ομένων.

39. Ἄρκτος γε μήν, ἥν φασι πλωτήρων εἶναι προπομπόν, ἐξ τὰ ἀστέρων συνέστηκεν· εἰς ἣν ἀφορῶντες κυβερνῆται τὰς ἐν αλάττῃ μυρίας ὁδοὺς ἀνέτεμον, ἀπίστῳ πράγματι καὶ μείζονι ἢ κτὰ φύσιν ἀνθρωπίνην ἐπιθέμενοι· στοχασμῷ γὰρ τῶν εἰρημένων στέρων τὰς πρὶν ἀδηλουμένας χώρας ἀνεῦρον, νήσους μὲν οἱ τὴν πειρον οἰκοῦντες, νησιῶται δ' ἠπείρους· ἔδει γὰρ ὑπὸ τοῦ καθαρω- ίτου τῆς οὐσίας οὐρανοῦ ζῴῳ τῷ θεοφιλεστάτῳ γῆς ὁμοῦ καὶ αλάττης ἀναδειχθῆναι τοὺς μυχούς, ἀνθρώπων γένει. Πρὸς δὲ ῖς εἰρημένοις καὶ ὁ τῶν πλειάδων χορὸς ἀστέρων ἑβδομάδι συμ- επλήρωται, ὧν αἱ ἐπιτολαὶ καὶ ἀποκρύψεις μεγάλων ἀγαθῶν αἰτίαι νονται πᾶσι· δυομένων μὲν γάρ, αὔλακες ἀνατέμνονται πρὸς πόρον· ἡνίκα δ' ἂν μέλλωσιν ἐπιτέλλειν, ἄμητον εὐαγγελίζονται, αἱ ἐπιτείλασαι χαίροντας γεωπόνους πρὸς συγκομιδὴν τῶν ἀναγ- αίων ἐγείρουσιν· οἱ δ' ἄσμενοι τὰς τροφὰς ἀποτίθενται πρὸς τὴν αθ' ἑκάστην ἡμέραν χρῆσιν. Ὅ τε μέγας ἡγεμὼν ἡμέρας ἥλιος

---

1 ἀναχυθείσης *MFa*: ἀναχθείσης *b* ὤφθησαν post βαθύτατα add. *M* 2 μὲν δή] μέντοι *D* 3 γεννῶντες *b*, γεννῶντα (sed α in ras.) *F* verba ὔξουσι — 4 παρασκευάζοντες om. *a* 4 ἐν ἑκάστοις] ἑκάστου *M* 5 χωρη- ίας *A* 7 γε *M*: τε *ab*, om. in ras. *F* μήν] μὲν *F* προπομπὴν *F* 8 εἰς οὓς *F* 9 ἀνέτεμον *M*, ἀνα τέμονται (sic) *F*[2] (ν ν superscr.) ἀπίστῳ πράγματι *M*: ράγματι ἀπίστῳ *ceteri* μείζω *M* 10 φύσιν *MFACE*: πίστιν *BD*, γνώμην *b* ἐπιθέμενοι] ἑπόμενοι *BD* 11 νησαίους *M*[h] 12 ἤπυρον *C* ὑπὸ τῆς κθαρωτάτης οὐσίας *M* v. sup. p. 8,10 13 θεοφιλεστάτῳ *MF*: θεοφιλεῖ *ab* 16 ἐπιστολαὶ *C* καὶ ἀποκρύψεις *MFIa*: καὶ αἱ ἀποκρύψεις *HKL* αἰτίαι *M*: αἴτιαι *ceteri* 17 γίνονται πᾶσι *M*: πᾶσι (πᾶσαι *C*) γίνονται *teri* μὲν om. *MD* 18 ἄμητον *ABC*: ἀμητόν *MDb* 19 ἐπιπείλασαι *D* 21 καθ' ἑκάστης ἡμέρας *b* ὅ τε μέγας ἡγεμὼν *M*: ὅ θ' ἡγεμὼν *ceteri* . sup. p. 18,20 ὁ ἥλιος *K*

---

7 Leg. alleg. I 45 καὶ ἄρκτος ἑπτὰ ἄστροις συμπληροῦται, κοινωνίας καὶ νώσεως ἀνθρώπων, οὐκ ἐπιμιξίας αὐτὸ μόνον, οὖσα αἰτία. 10 de mut. nom. 612 εἰ δὲ τοῦτο μεῖζον ἢ κατ' ἀνθρωπίνην φύσιν, ἀγαπῶμεν. de septenn. [280 τελειοτέραν ἢ κατ' ἀνθρωπίνην φύσιν ὑπέλαβεν εἶναι.

διττὰς καθ᾿ ἕκαστον ἐνιαυτὸν ἀποτελῶν ἰσημερίας, ἔαρι καὶ μετοπώρῳ, τὴν μὲν ἐαρινὴν ἐν κριῷ, τὴν δὲ μετοπωρινὴν ἐν ζυγῷ, ἐναργεστάτην παρέχεται πίστιν τοῦ περὶ τὴν ἑβδόμην θεοπρεποῦς· ἑκατέρα γὰρ τῶν ἰσημεριῶν ἑβδόμῳ γίνεται μηνί, καθ᾿ ἃς καὶ ἑορτάζειν διείρηται νόμῳ τὰς μεγίστας καὶ δημοτελεστάτας ἑορτάς, ἐπειδήπερ ἀμφοτέραις τὰ ὅσα ἐκ γῆς τελειογονεῖται, ἔαρι μὲν ὁ τοῦ σίτου καρπὸς καὶ τῶν ἄλλων ὅσα σπαρτά, μετοπώρῳ δ᾿ ὁ τῆς ἀμπέλου καὶ τῶν ἄλλων πλείστων ἀκροδρύων.

40. Ἐπεὶ δ᾿ ἐκ τῶν οὐρανίων τὰ ἐπίγεια ἤρτηται κατά τινα φυσικὴν συμπάθειαν, ὁ τῆς ἑβδομάδος λόγος ἄνωθεν ἀρξάμενος κατέβη καὶ πρὸς ἡμᾶς τοῖς θνητοῖς γένεσιν ἐπιφοιτήσας. αὐτίκα τῆς ἡμετέρας ψυχῆς τὸ δίχα τοῦ ἡγεμονικοῦ μέρος ἑπταχῇ σχίζεται, εἰς πέντε αἰσθήσεις καὶ τὸ φωνητήριον ὄργανον καὶ ἐπὶ πᾶσι τὸ γόνιμον· ἃ δὴ πάντα καθάπερ ἐν τοῖς θαύμασιν ὑπὸ τοῦ ἡγεμονικοῦ νευροσπαστούμενα τοτὲ μὲν ἠρεμεῖ τοτὲ δὲ κινεῖται τὰς ἁρμοττούσας σχέσεις καὶ κινήσεις ἕκαστον. ὁμοίως δὲ καὶ τοῦ σώματος εἴ τις ἐξετάζειν ἐπιχειρήσειε τά τ᾿ ἐκτὸς καὶ ἐντὸς μέρη, καθ᾿ ἑκάτερον ἑπτὰ εὑρήσει· τὰ μὲν οὖν ἐν φανερῷ ταῦτ᾿ ἐστί·
p. 29 M. κεφαλή, στέρνα, γαστήρ, | διτταὶ χεῖρες, διτταὶ βάσεις· τὰ δ᾿ ἐντὸς λεγόμενα σπλάγχνα, στόμαχος, καρδία, πνεύμων, σπλήν, ἧπαρ,

1 ἰσομοιρίας *BD* 2 ζυγῷ] χειμῶνι *M* 4 ἑκατέρῳ *M* 6 τὰ ὅσα] τὰ ἴσα *F* (sed ἰ in ras. man. 2), ὅσα Turn. 7 ὅσα ἐστὶ σπαρτά *M* ὁ τῆς *a*: τὰ τῆς *M*, τὸ τῆς *b* 10 ὁ γὰρ τῆς *M*[h] 12 μέρους *M* 13 εἰς scripsi: πρὸς codd. 14 δὴ om. *BD* ὑπὸ om. *BD* 15 κινεῖται] κινήσεις *M* 16 ἕκαστον om. *M* 17 ἐπιχειρήσει *M* ἐκτὸς καὶ ἐντὸς *MF*: ἐντὸς καὶ ἐκτὸς *ceteri* 18 καθ᾿ ἕκαστον *D* ἐν τῷ φανερῷ *F* 19/20 τὰ δ᾿ ἐν τοῖς λεγομένοις σπλάγχνοις *a*

4 de decal. II 206 ἑβδομάδι δὲ τὰς μεγίστας καὶ πολυημέρους ἑορτὰς προσένειμε κατὰ τὰς τοῦ ἔτους ἰσημερίας ἐαρινὴν καὶ μετοπωρινήν, δύο δυσὶν ἀναθείς, ἑκατέραν ἐφ᾿ ἡμέρας ἑπτά, τὴν μὲν κατὰ τὸ ἔαρ ἐπὶ τελειώσει τῶν σπειρομένων, τὴν δὲ μετοπωρινὴν ἐπὶ συγκομιδῇ καρπῶν ἁπάντων οὓς καὶ τὰ δένδρα ἤνεγκεν. 12 Leg. alleg. I 45 ψυχῆς γε μὴν τὸ ἄλογον ἑπταμερές, αἰσθήσεις πέντε καὶ φωνητήριον ὄργανον καὶ τὸ διῆκον ἄχρι παραστατῶν ὃ δὴ γόνιμόν ἐστι. quod det. pot. insid. I 223 τὸ ἄλογον τῆς ψυχῆς εἰς ἑπτὰ διανέμεται μοίρας, ὅρασιν ὄσφρησιν ἀκοὴν γεῦσιν ἁφήν, λόγον, γόνιμον. quis rer. div. her. I 505 τὸ μὲν γὰρ ἄλογον ψυχῆς μέρος ἑξαχῇ διελὼν ὁ δημιουργὸς ἑπτὰ μοίρας εἰργάσατο, ὅρασιν γεῦσιν ἀκοὴν ὄσφρησιν ἁφήν, γόνιμον, φωνήν. 16 sqq. Leg. alleg. I 45 σπλάγχνα γε μὴν ἑπτά, στόμαχος, καρδία, σπλήν, ἧπαρ, πνευμων, νεφροὶ δύο. μέλη δὲ σώματος ὁμοίως ἰσάριθμα, κεφαλή, τράχηλος, στέρνον, χεῖρες, κοιλία, ἦτρον, πόδες. τό γ᾿ ἡγεμονικώτατον τοῦ ζῴου πρόσωπον ἑπταχῇ κατατέτρηται, δυσὶν ὀφθαλμοῖς καὶ ὠσὶ δυσίν, ἴσοις μυκτῆρσιν, ἑβδόμῳ στόματι

:φροὶ δύο. πάλιν δ' αὖ τὸ ἡγεμονικώτατον ἐν ζῴῳ κεφαλὴ τοῖς ιαγκαιοτάτοις ἑπτὰ χρῆται, δυσὶν ὀφθαλμοῖς, ἀκοαῖς ἴσαις, αὐλοῖς � κτῆρος δυσίν, ἑβδόμῳ στόματι, δι' οὗ γίνεται θνητῶν μέν, ὡς ηη Πλάτων, εἴσοδος, ἔξοδος δ' ἀφθάρτων· ἐπεισέρχεται μὲν γὰρ ͅτῷ σιτία καὶ ποτά, φθαρτοῦ σώματος φθαρταὶ τροφαί, λόγοι δ' ἴασιν ἀθανάτου ψυχῆς ἀθάνατοι νόμοι, δι' ὧν ὁ λογικὸς βίος ͅβερνᾶται.

41. Τὰ δὲ διὰ τῆς ἀρίστης τῶν αἰσθήσεων ὄψεως κρινόμενα ετέχει τοῦ ἀριθμοῦ κατὰ γένος· ἑπτὰ γάρ ἐστι τὰ ὁρώμενα, σῶμα, ιάστασις, σχῆμα, μέγεθος, χρῶμα, κίνησις, στάσις, καὶ παρὰ ταῦτ' ὐδὲν ἕτερον. Συμβέβηκε μέντοι καὶ τὰς τῆς φωνῆς μεταβολὰς άσας ἑπτὰ εἶναι, τὴν ὀξεῖαν, τὴν βαρεῖαν, τὴν περισπωμένην, καὶ ἐταρτον δασὺν φθόγγον καὶ ψιλὸν πέμπτον καὶ μακρὸν ἕκτον καὶ ραχὺν ἕβδομον. Ἀλλὰ γὰρ καὶ κινήσεις ἑπτὰ εἶναι συμβέβηκε, ὴν ἄνω, τὴν κάτω, τὴν ἐπὶ δεξιά, τὴν ἐπ' εὐώνυμα, τὴν πρόσω, ὴν κατόπιν, τὴν ἐν κύκλῳ, ἃς ἐν τοῖς μάλιστα τρανοῦσιν οἱ τὴν ρχησιν ἐπιδεικνύμενοι. Φασὶ δὲ καὶ τὰς διὰ τοῦ σώματος ἐκκρίσεις πεστάλθαι τῷ λεχθέντι ἀριθμῷ· διὰ μὲν γὰρ ὀφθαλμῶν δάκρυα ροχεῖται, διὰ δὲ μυκτήρων αἱ ἐκ κεφαλῆς καθάρσεις, διὰ δὲ τόματος ὁ ἀποπτυόμενος σίελος· εἰσὶ δὲ καὶ διτταὶ δεξαμεναὶ πρὸς ὰς τῶν περιττωμάτων ἀποχετεύσεις, ἡ μὲν ἔμπροσθεν, ἡ δὲ ιατόπιν· ἕκτη δ' ἐστὶν ἡ δι' ὅλου τοῦ σώματος ἐν ἱδρῶτι πρόχυσις,

---

1 δ' αὖ *M*: τὲ αὖ *ab*, τὲ αὖ *F*[1], δὲ αὖ *F*[2] 2 αὐλοῖς *MFa*: αὔλαις *b* 4 ἔφην πλαστῶν (sic) *M* γὰρ om. *a* 5 λόγοι *MFa*: λόγου *b* 6 ἐξ-οῦσιν *F* 8 κρινόμενα] ἐπεισκρινόμενα *M* 11 μεταβολῆς *B* 12 πάσας *M*: ἁπάσας *ceteri* 15 τὴν ἀνωτάτω, τὴν κατωτάτω *M* ἐπ' om. *M* 16 καὶ τὴν κατόπιν *M* ἃς] ἣν *M* 17 γινομένας ante ἐκκρίσεις add. *M* 18 γὰρ om. *D* 19 ἐκ om. *M* 20 ὁ ἀποπτυόμενος σίελος *M*: οἱ ἀποπτυόμενοι σίελοι *ceteri* 21 ἡ μὲν γὰρ πρόσθεν *M*[h] 22 ἱδρῶσι *Fa*

---

4 Plat. Tim. 75 d τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν ἀναγκαίων μηχανώμενοι χάριν, τὴν δ' ἔξοδον τῶν ἀρίστων· ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι, τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ ἄριστον πάντων ναμάτων. 11 Leg. alleg. I 46 τάς τε τῶν φθόγγων τάσεις ἑπτὰ εἶναι συμβέβηκεν, ὀξύν, βαρύν, περισπώμενον, δασύν, ψιλόν, μακρόν, βραχύν. 14 Leg. alleg. I 45 πάλιν αὖ σώματος ἑπτὰ κινήσεις, ὀργανικαὶ μὲν ἕξ, ἑβδόμη δ' ἡ κύκλῳ. 17 ibid. αἵ τε ἀποκρίσεις ἑπτά, δάκρυα, μύξαι, σίελος, σπέρμα, διττοὶ περιττωμάτων ὀχετοί, καὶ δι' ὅλου τοῦ σώματος ἱδρώς.

καὶ ⟨ἑβδόμη⟩ ἡ φυσικωτάτη σπέρματος πρόεσις διὰ τῶν γεννητικῶν. Φησὶ δὲ καὶ Ἱπποκράτης ὁ τῆς φύσεως ἐπιγνώμων ἐν ἑβδομάδι κρατύνεσθαι καὶ τὴν πῆξιν τῆς γονῆς καὶ τὴν ἀνάπλησιν τῆς σαρκός. Πάλιν δ' αὖ γυναιξὶν ἡ φορὰ τῶν καταμηνίων εἰς ἑπτὰ τὰς πλείστας ἡμέρας χορηγεῖται. Καὶ τὰ κατὰ γαστρὸς βρέφη μησὶν ἑπτὰ τελειογονεῖσθαι πέφυκεν, ὡς παραδοξότατόν τι συμβαίνειν· γίνεται γὰρ τὰ ἑπταμηνιαῖα γόνιμα, τῶν ὀκτωμηνιαίων ὡς ἐπίπαν ζῳογονεῖσθαι μὴ δυναμένων. Αἵ τε βαρεῖαι νόσοι σωμάτων, καὶ μάλισθ' ὅταν ἐκ δυσκρασίας τῶν ἐν ἡμῖν δυνάμεων πυρετοὶ συνεχεῖς ἐπισκήψωσιν, ἑβδόμῃ μάλιστά πως ἡμέρᾳ διακρίνονται· δικάζει γὰρ ἀγῶνα τὸν περὶ ψυχῆς, τοῖς μὲν σωτηρίαν ψηφιζομένη, τοῖς δὲ θάνατον.

42. Ἡ δὲ δύναμις αὐτῆς οὐ μόνον τοῖς εἰρημένοις, ἀλλὰ καὶ ταῖς ἀρίσταις τῶν ἐπιστημῶν ἐπιπεφοίτηκε, γραμματικῇ τε καὶ μουσικῇ. λύρα μὲν γὰρ ἡ ἑπτάχορδος ἀναλογοῦσα τῇ τῶν πλανήτων χορείᾳ τὰς ἐλλογίμους ἁρμονίας ἀποτελεῖ, σχεδόν τι τῆς κατὰ μουσικὴν
p. 30 M. ὀργανοποιίας ἁπάσης | ἡγεμονὶς οὖσα. στοιχείων τε τῶν ἐν γραμματικῇ τὰ λεγόμενα φωνήεντα ἐτύμως ἑπτά ἐστιν, ἐπειδὴ καὶ ἐξ αὑτῶν ἔοικε φωνεῖσθαι καὶ τοῖς ἄλλοις συνταττόμενα φωνὰς ἐνάρθρους ἀποτελεῖν· τῶν μὲν γὰρ ἡμιφώνων ἀναπληροῖ τὸ ἐνδέον, ὁλοκλήρους κατασκευάζοντα τοὺς φθόγγους, τῶν δ' ἀφώνων τρέπει καὶ μεταβάλλει τὰς φύσεις, ἐμπνέοντα τῆς ἰδίας δυνάμεως, ἵνα

---

1 ἑβδόμη addidi   2/3 verba Φησὶ δὲ — τῆς σαρκός accesserunt ex *M*, om. *ceteri*   4 πάλιν δ' αὖ *M*: πάλιν τὲ αὖ *ceteri*   φορὰ *M*: καταφορὰ *ceteri* v. inf. p. 49,18   5 τὰ om. *C*   κατὰ om. *M*   6 τελειογονεῖσθαι *M*: ζῳογονεῖσθαι *ceteri*   συμβαίνει *I*   7 ἑπταμηνιαῖα *M*: ἑπτάμηνα *ceteri*   γόνιμα] γέννημα *D*   9 ἐπισκέψωσιν *C*, κατασκήψουσιν *M*   10 διακρίνεται *BD*   11 θάνατον ἀεὶ *M*   12 αὐτῆς] αὐτοῖς *F*[2]   13 πεφοίτηκε *M*   τε καὶ *M*: τε om. *ceteri*   14 μὲν γὰρ] τὲ *M*, γὰρ om. *K*   ἡ om. *a*   τῶν πλανήτων *MFa*: τῶν ἑπτὰ πλανήτων *b*   15 τι] τῇ *M*   16 ἡγεμονεῖς οὖσας *M*   18 αὑτῶν *A*, αὐτῶν *MFBCD*, ἑαυτῶν *b*   19 ἀποτελεῖν *Mb*: ἀποτελεῖ *Fa*   21 τὰς] τὰ *M*   φύσεις om. *M*   ἰδίας] ἀϊδίου *M*

---

4 Leg. alleg. I 45 καὶ γυναιξὶ δὲ αἱ καταμήνιοι καθάρσεις ἄχρις ἑβδομάδος παρατείνουσι.   5 ibid. τίς γὰρ οὐκ οἶδεν ὅτι τῶν βρεφῶν τὰ μὲν ἑπταμηνιαῖα γόνιμα, τὰ δὲ πλείω χρόνον προσλαβόντα, ὡς ὀκτὼ μῆνας ἐνδιαιτηθῆναι γαστρί, κατὰ τὸ πλεῖστον ἄγονα.   8 ibid. ἐν μὲν οὖν ταῖς νόσοις κριτικωτάτη ἑβδομάς.   12 sqq. Leg. alleg. I 46 διελήλυθε δ' ἡ δύναμις αὐτῆς (ἑβδομάδος) καὶ ἐπὶ τὰς ὠφελιμωτάτας τῶν τεχνῶν, τὴν γραμματικὴν ⟨καὶ μουσικήν⟩· τὰ γοῦν ἐν γραμματικῇ ἄριστα τῶν στοιχείων καὶ πλείστην ἔχοντα δύναμιν ἑπτά ἐστι φωνήεντα· κατά τε μουσικὴν ἡ ἑπτάχορδος λύρα πάντων σχεδὸν ὀργάνων ἀρίστη, διότι τὸ ἐναρμόνιον, ὃ δὴ τῶν μελῳδουμένων γενῶν ἐστι τὸ σεμνότατον, κατ' αὐτὴν μάλιστά πως θεωρεῖται.

ένηται τὰ ἄρρητα ῥητά. διό μοι δοκοῦσιν οἱ τὰ ὀνόματα τοῖς ράγμασιν ἐξ ἀρχῆς ἐπιφημίσαντες ἅτε σοφοὶ καλέσαι τὸν ἀριθμὸν πτὰ ἀπὸ τοῦ περὶ αὐτὸν σεβασμοῦ καὶ τῆς προσούσης σεμνότητος· ωμαῖοι δὲ καὶ προστιθέντες τὸ ἐλλειφθὲν ὑφ' Ἑλλήνων στοιχεῖον ὸ Σ τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν, ἐτυμώτερον σέπτεμ προσγορεύοντες ἀπὸ τοῦ σεμνοῦ, καθάπερ ἐλέχθη, καὶ σεβασμοῦ.

43. Ταῦτα καὶ ἔτι πλείω λέγεται καὶ φιλοσοφεῖται περὶ ἑβδοιάδος, ὧν ἕνεκα τιμὰς μὲν ἔλαχεν ἐν τῇ φύσει τὰς ἀνωτάτω, τιμᾶται ὲ καὶ παρὰ τοῖς δοκιμωτάτοις τῶν Ἑλλήνων καὶ βαρβάρων, οἳ τὴν ιαθηματικὴν ἐπιστήμην διαπονοῦσιν, ἐκτετίμηται δ' ὑπὸ τοῦ ιλαρέτου Μωσέως, ὃς τὸ κάλλος αὐτῆς ἀνέγραψεν ἐν ταῖς ἱερωτάταις οῦ νόμου στήλαις, ταῖς δὲ διανοίαις τῶν ὑφ' αὐτὸν ἁπάντων νεχάραξε, δι' ἓξ ἡμερῶν κελεύσας ἄγειν ἱερὰν ἑβδόμην ἀπὸ τῶν λλων ἀνέχοντας ἔργων ὅσα κατὰ ζήτησιν βίου καὶ πορισμόν, ἐνὶ ιόνῳ σχολάζοντας τῷ φιλοσοφεῖν εἰς βελτίωσιν ἠθῶν καὶ τὸν τοῦ υνειδότος ἔλεγχον, ὃς ἐνιδρυμένος τῇ ψυχῇ καθάπερ δικαστὴς ἐπιλήττων οὐ δυσωπεῖται, τὰ μὲν σφοδροτέραις ἀπειλαῖς τὰ δὲ καὶ

---

2 πράγμασιν *M* (coni. Müller): γράμμασιν *ceteri* ἅτε σοφοὶ om. *M* τὸν om. *I* 3 αὐτὸν] αὐτοῦ *BD* 4 προστιθέντες] ἀγνοοῦντες προσθενται *M* 5 καὶ τρανοῦσιν *M* ἐτυμώτερον *M*: ἐτυμοτέραν *HIK*, ^μ^ τοιμοτέραν *FLa* σέπτεμ] σεπτὲ *M*, σέπτε *ab* (σέπτε *K*) προσονομάζοντες *M* 6 σεβασμίου *MC* 7 καὶ ἔτι πλείω *M*: ἔτι om. *ceteri* 8 τιμὰς *M*: τιμῆς *ceteri* τὰς ἀνωτάτω *M*: τῇ (corr. ex τῆς) ἀνωτάτω *H*, τῆς ἀνωτάτω *F²IKa*, τῇ ἀνωτάτω *F¹L* (Turn.) 9 καὶ ante παρὰ om. *M* τῶν om. *b* 12 ὑφ' αὐτὸν *FABCb* : ὑφ' αὐτῶν *D*, ὑπ' αὐτὸν *M* 13 ἐνεχάραξε *M*: om. *D*, ἐχάραξε *ceteri* ἱερὰν] ἡμέραν *E* (teste Mangeio) 14 ἀνέχοντες *D* ὡς ante ἐνὶ add. *M* 15 μόνον *D* τῷ] τὸ *D* 17 καὶ om. *a*

---

11 sqq. de vit. Mos. II 167 ταύτης ἕνεκα τῆς αἰτίας ὁ πάντα μέγας Μωσῆς ἠδικαίωσε τοὺς ἐγγραφέντας αὐτοῦ τῇ ἱερᾷ πολιτείᾳ θεσμοῖς φύσεως ἑπομένους πανηγυρίζειν, ἐν ἱλαραῖς διάγοντας εὐθυμίαις, ἀνέχοντας μὲν ἔργων καὶ τεχνῶν τῶν εἰς πορισμὸν καὶ πραγματειῶν ὅσαι κατὰ βίου ζήτησιν, ἄγοντας δὲ ἐκεχειρίαν καὶ διαφειμένους πάσης ἐπιπόνου καὶ καματηρᾶς φροντίδος, σχολάζοντας οὐχ ὡς ἔνιοι γέλωσιν ἢ παιδιαῖς ἢ μίμων ἢ ὀρχηστῶν ἐπιδείξεσι, . . . ἀλλὰ μόνῳ τῷ φιλοσοφεῖν, οὐχ ὅπερ μεθοδεύουσιν οἱ λογοθῆραι καὶ σοφισταί, . . . ἀλλὰ τῷ ὄντι φιλοσοφεῖν, ὅπερ ἐκ τριῶν συνύφανται, βουλευμάτων καὶ λόγων καὶ πράξεων εἰς ἓν εἶδος ἡρμοσμένων πρὸς κτῆσιν καὶ ἀπόλαυσιν εὐδαιμονίας. de septenn. II 282 (Tischendorf Philon. p. 23,6) προστάξας μέντοι μὴ διαπονεῖν τοῖς σώμασι κατὰ τὰς ἑβδομάδας ἐφῆκε τὰς ἀμείνους πράξεις ἐπιτελεῖν· αὗται δ' εἰσὶν αἱ διὰ λόγων καὶ δογμάτων τῶν κατ' ἀρετήν· προτρέπει γὰρ φιλοσοφεῖν τὸ βελτιοῦν τὴν ψυχὴν καὶ τὸν ἡγεμόνα νοῦν.

μετριωτέραις νουθεσίαις χρώμενος, περὶ μὲν ὧν ἔδοξεν ἐκ προνοίας ἀδικεῖν ἀπειλαῖς, περὶ δ' ὧν ἀκούσια διὰ τὸ ἀπροοράτως ἔχειν νουθεσίαις ὑπὲρ τοῦ μηκέθ' ὁμοίως ὀλισθεῖν.

44. Ἐπιλογιζόμενος δὲ τὴν κοσμοποιίαν κεφαλαιώδει τύπῳ φησίν· „Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι". ἆρ' οὐκ ἐμφανῶς τὰς ἀσωμάτους καὶ νοητὰς ἰδέας παρίστησιν, ἃς τῶν αἰσθητῶν ἀποτελεσμάτων σφραγῖδας εἶναι συμβέβηκε; πρὶν γὰρ χλοῆσαι τὴν γῆν, αὐτὸ τοῦτο ἐν τῇ φύσει τῶν πραγμάτων χλόη, φησίν, ἦν, καὶ πρὶν ἀνατεῖλαι χόρτον ἐν ἀγρῷ, χόρτος ἦν οὐχ ὁρατός. ὑπονοητέον δ' ὅτι καὶ ἑκάστου τῶν ἄλλων
p. 31 M. ἃ δικάζουσιν αἰσθήσεις τὰ πρεσβύτερα | εἴδη καὶ μέτρα, οἷς εἰδοποιεῖται καὶ μετρεῖται τὰ γινόμενα, προϋπῆρχε· καὶ γὰρ εἰ μὴ κατὰ μέρος ⟨ἀλλ'⟩ ἀθρόα πάντα διεξελήλυθε, φροντίζων εἴ καί τις ἄλλος βραχυλογίας, οὐδὲν ἧττον τὰ ῥηθέντ' ὀλίγα δείγματα τῆς τῶν συμπάντων ἐστὶ φύσεως, ἥτις ἄνευ ἀσωμάτου παραδείγματος οὐδὲν τελεσιουργεῖ τῶν ἐν αἰσθήσει.

45. Τῆς δ' ἀκολουθίας ἐχόμενος καὶ τὸν εἱρμὸν τῶν ἑπομένων πρὸς τὰ ἡγούμενα διατηρῶν λέγει ἑξῆς· „Πηγὴ δ' ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς". οἱ μὲν ἄλλοι φιλόσοφοι τὸ σύμπαν ὕδωρ ἓν στοιχεῖον εἶναί φασι τῶν τεττάρων, ἐξ ὧν ὁ κόσμος ἐδημιουργήθη· Μωσῆς δ' ὀξυωπεστέροις ὄμμασι καὶ τὰ

---

1 ἔδοξεν] ἔδειξεν *a* ἐκ προνοίας ἀδικεῖν *M*, ἀδικεῖν ἐκ προνοίας *F* (et *E* teste Mangeio): ἀπειθεῖν ἐκ προνοίας *b*, ἀπειλεῖν (ἀπειλὴν *B*) ἐκ προνοίας *a* 2 ἀκούσια] ἀκουστὰ *M* 5 ἡ om. *C* verba ἐγένετο ᾗ ἡμέρᾳ om. *M* 9 παρίστησιν om. *BD* 10 χλοῖσαι *M* 12 ἑκάστῳ *M* 13 μέτρα καὶ εἴδη *BD* 14 εἰ μὴ *Ma*: εἰ μὴ τὰ *FH* (sed in *H* μὴ deletum), εἰ τὰ *IKL* 15 μέρος] γένος *M* ἀλλ' addidi διεξεληλύθει *M* 17 συμπάντων *Mb*: πάντων *a* 19 τὸν] τὴν *MF* εἱρμὸν] εἱρομένην *F*, om. *M* 20 φύσιν post διατηρῶν add. *MF* ἑξῆς λέγει *M* ἐκ *MFa*: ἀπὸ *b* cf. LXX 21 πρόσωπον τῆς γῆς *M*: πρόσωπον αὐτῆς *ceteri* cf. LXX μὲν *M*: μὲν γὰρ *ceteri* 22 ἓν om. *M* τεσσάρων *M* 23 ὀξυπτέροις *AC*, ὀξυτέροις *BD*

---

8 Quaest. in Gen. I § 2: Incorporeas species assimulat per haec: quoniam illud *antequam esset* consummationem innuit omnis virgulti et herbae, seminabilium arborumqne; quod autem dicit, *priusquam germinasset super terram*, fecisse eum viride et foenum et cetera, patet incorporeas species sicut indicativas (prius) creatas esse secundum naturam intellectualem, quas ista quae in terra sunt sensilia imitatura erant..

κρὰν εἰωθὼς εὖ μάλα θεωρεῖν καὶ καταλαμβάνειν, στοιχεῖον μὲν ται εἶναι τὴν μεγάλην θάλατταν, μοῖραν τετάρτην τῶν συμπάντων, οἱ μετ' αὐτὸν Ὠκεανὸν προσαγορεύοντες τὰ παρ' ἡμῖν πλωτὰ λάγη λιμένων ἔχειν μεγέθη νομίζουσι· τὸ δὲ γλυκὺ καὶ πότιμον ωρ διέκρινεν ἀπὸ τοῦ θαλαττίου προσκατατάξας αὐτὸ τῇ γῇ καὶ οος ταύτης ὑπολαβών, οὐκ ἐκείνου, διὰ τὴν λεχθεῖσαν αἰτίαν ότερον, ἵν' ὡς ἂν ὑπὸ δεσμοῦ συνέχηται γλυκείᾳ ποιότητι κόλλης ῖπον ἐνούσης· ξηρὰ γὰρ ἀπολειφθεῖσα, μὴ παραδυομένης νοτίδος ι τῶν ἀραιωμάτων πολυσχιδῶν ἐπιφοιτώσης, * * * κἂν διελέλυτο· νέχεται δὲ καὶ διαμένει τὰ μὲν πνεύματος ἑνωτικοῦ δυνάμει δὲ τῆς νοτίδος οὐκ ἐώσης ἀφαυαινομένην κατὰ τρύφη μικρὰ καὶ γάλα θρύπτεσθαι. μία μὲν αἰτία ἥδε. λεκτέον δὲ καὶ ἑτέραν οχαζομένην ὥσπερ σκοποῦ τῆς ἀληθείας. οὐδὲν τῶν γηγενῶν ευ ὑγρᾶς οὐσίας συνίστασθαι πέφυκε· μηνύουσι δ' αἱ καταβολαὶ ὶν σπερμάτων, ἅπερ ἢ ὑγρά ἐστιν, ὡς τὰ τῶν ζῴων, ἢ οὐκ ἄνευ ρότητος βλαστάνει, τοιαῦτα δὲ τὰ τῶν φυτῶν ἐστιν· ἐξ οὗ δῆλον ι ἀνάγκη τὴν λεχθεῖσαν ὑγρὰν οὐσίαν μέρος εἶναι γῆς τῆς πάντα κτούσης, καθάπερ ταῖς γυναιξὶ τὴν φορὰν τῶν καταμηνίων· λέγεται ιρ οὖν καὶ ταῦτα πρὸς ἀνδρῶν φυσικῶν οὐσία σωματικὴ βρεφῶν ναι. τῶν δ' εἰρημένων οὐκ ἀπᾴδει καὶ τὸ μέλλον λέγεσθαι· πάσῃ ητρὶ καθάπερ ἀναγκαιότατον μέρος ἡ φύσις πηγάζοντας ἀνέδωκε

1 μακρὰ *MBD* εἰωθὸς *C* 2 οἴεται εἶναι] εἶναι φησί *M* 3 οἱ om. *BD* παρ' ἡμῖν om. *a* 4 λιμένων] λιμνῶν coni. Markland (Mangey) μεγέθη *Mb*: γον *a* 5 τοῦ θαλαττίου] τῆς θαλάσσης *a* προκατατάξας *D* τῇ γῇ *M*: om. *ceteri* 6 διὰ τὴν *M*: διά γε τὴν *a*, διά τε τὴν *b* 7 ἂν om. *M* ὑπὸ] ἀπὸ *M* δεσμῶν *D* 8 ἐνούσης *ABC*: ἐνούσης *MDb* (sed ἐ corr. ἐ *MH*), ἐνούσῃ Mang. (Markland) ξηρὰ] ξυρὰ *C* ἀποληφθεῖσα *D* νοτίδος et ὑγρότητος post ἀραιωμάτων add. *a* 9 πολυσχιδῶν Turnebus: πολυσχιδῶς *d*. (καὶ πολυσχιδῶς Mang.) ante κἂν διελέλυτο interciderunt non nulla κἂν διελέλυτο *M*: κἂν διεῖλεν αὐτό *b*, κἂν καὶ διὰ τοῦτο διεῖλεν (διεῖλον *D*) ὸ *a* 11 τῆς νοτίδος *MFa*: τῆς om. *b* ἀφαυαινομένην *b*: om. *M*, υαίνεσθαι καὶ *a* τρύφη] δρύφη *F*, τρυφὴν *M* 13 σκοποῦ *Mb*: τοῦ ποῦ *a* 14 πέφυκε συνίστασθαι *a* μηνύουσι δὲ τοῦτο Christoph. Mang. ὶ om. *M* 15 θέρη ante ἅπερ add. *M* ἢ ὑγρά] ἡ ὑγρά *A*, ἢ om. *C* 16 δὲ καὶ τὰ (καὶ superscr.) *M* φοιτῶν *C* δηλονότι *FABC* 17 γῆς] τῆς γῆς *M* 18 καταμηνίων *MF²a*: καταμηνιαίων *F¹b* cf. p. 46,4 19 ταῦτα] τὰ *M* 20 ἀπᾴδει *M*: ἀποδεῖ *ceteri*

20 sqq. de plant. I 332 γῇ δὲ ζῷά τε χερσαῖα καὶ φυτά, δύο πάλιν, ἀπένειμε, τὴν αὐτήν τε μητέρα βουληθεὶς εἶναι καὶ τροφόν· καθάπερ γὰρ γυναικὶ καὶ παντὶ τῷ θήλει πηγαὶ πρὸς τὸ μέλλειν ἀποκυΐσκειν ἀποχέονται

μαστοὺς προευτρεπισαμένη τροφὰς τῷ γενησομένῳ· μήτηρ δ' ὡς ἔοικε καὶ ἡ γῆ, παρ' ὃ καὶ τοῖς πρώτοις ἔδοξεν αὐτὴν Δήμητραν
p. 32 M. καλέσαι τὸ μητρὸς καὶ γῆς ὄνομα συνθεῖσιν· οὐ | γὰρ γῆ γυναῖκα, ὡς εἶπε Πλάτων, ἀλλὰ γυνὴ γῆν μεμίμηται, ἣν ἐτύμως τὸ ποιητικὸν γένος παμμήτορα καὶ καρποφόρον καὶ πανδώραν εἴωθεν ὀνομάζειν. ἐπειδὴ πάντων αἰτία γενέσεως καὶ διαμονῆς ζῴων ὁμοῦ καὶ φυτῶν ἐστιν. εἰκότως οὖν καὶ γῇ τῇ πρεσβυτάτῃ καὶ γονιμωτάτῃ μητέρων ἀνέδωκεν ἡ φύσις οἷα μαστοὺς ποταμῶν ῥεῖθρα καὶ πηγῶν, ἵνα καὶ τὰ φυτὰ ἄρδοιτο καὶ ποτὸν ἄφθονον ἔχοι πάντα τὰ ζῷα.

46. Μετὰ δὲ ταῦτά φησιν ὅτι „ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς". ἐναργέστατα καὶ διὰ τούτου παρίστησιν ὅτι διαφορὰ παμμεγέθης ἐστὶ τοῦ τε νῦν πλασθέντος ἀνθρώπου καὶ τοῦ κατὰ τὴν εἰκόνα θεοῦ γεγονότος πρότερον· ὁ μὲν γὰρ διαπλασθεὶς αἰσθητὸς ἤδη μετέχων ποιότητος, ἐκ σώματος καὶ ψυχῆς συνεστώς, ἀνὴρ ἢ γυνή, φύσει θνητός· ὁ δὲ κατὰ τὴν εἰκόνα ἰδέα τις ἢ γένος ἢ σφραγίς, νοητός, ἀσώματος, οὔτ' ἄρρεν οὔτε θῆλυ, ἄφθαρτος φύσει. τοῦ δ' αἰσθητοῦ καὶ ἐπὶ μέρους ἀνθρώπου τὴν κατασκευὴν σύνθετον εἶναί φησιν ἔκ τε γεώδους οὐσίας καὶ πνεύματος θείου· γεγενῆσθαι γὰρ τὸ μὲν σῶμα χοῦν τοῦ τεχνίτου λαβόντος καὶ μορφὴν ἀνθρωπίνην ἐξ αὐτοῦ διαπλάσαντος, τὴν δὲ ψυχὴν ἀπ' οὐδενὸς γενητοῦ τὸ παράπαν, ἀλλ' ἐκ τοῦ πατρὸς καὶ ἡγεμόνος

---

1 προευτρεπιζομένη *a* τῷ γενησομένῳ *C*, τῷ γεννησομένῳ *MFABDE*: τῶν γεννησομένων *b* 2 αὐτὴν om. *M* Δημήτεραν *M* 4 μεμίμηται] μιμεῖται *M* ἐτύμως] ἐτύμως *HIK*, ἑτοίμως *FCDL*, ὁμοίως *M* ποιητικὸν *Mb*: ποιητῶν *a* (M^h) 6 διαμονὴ *M* 7 καὶ γῇ om. *M* 8 οἷα μασθοὺς *D* ἵνα καὶ *M*: καὶ om. *ceteri* 9 ἔχη [οι] *B*, ἔχει *Db* (ἔχει [οι] *K*) 10 τὸν ἄνθρωπον *MB*: τὸν om. *ceteri* cf. LXX 11 λαβὼν om. *F* τῆς om. *M* 12 διὰ τοῦτο *D* 13 καὶ παμμεγέθης *M*, παραμεγέθης *D* 14 εἰκόνα τοῦ θεοῦ *M* 15 αἰσθητὸς ἤδη *MFa*: ἤδη αἰσθητὸς *b* 16 verba ἀνὴρ — θνητός om. *M* θνητός *Fa*: θνητὸς ὢν *b* 17 οὔτ' ἄρρεν Mangey: οὔτε γὰρ ἄρρεν *M*, οὔτ' ἄρρην *ceteri* ἄφθαρτον *M* 19 φασιν *M* ἔκ τε *M*: τε om. *ceteri* 20 γεγεννῆσθαι *B* 21 διαπλασθέντος *F* 22 γεννητοῦ *a* πατρὸς] πνεύματος *A*, πν̅ς *BCD*

γάλακτος, ἵνα τοῖς γεννωμένοις ἄρδωσι τὰς ἀναγκαίας καὶ ἁρμοττούσας τροφάς, τὸν αὐτὸν τρόπον καὶ τῇ χερσαίων ζῴων μητέρι γῇ πάσας φυτῶν προσένειμεν ἰδέας, ἵνα συγγενέσι καὶ μὴ ὀθνείαις τροφαῖς τὰ γεννώμενα χρήσηται. 3 Plat. Menex. 238a οὐ γὰρ γῆ γυναῖκα μεμίμηται κυήσει καὶ γεννήσει, ἀλλὰ γυνὴ γῆν.

τῶν πάντων· ὃ γὰρ ἐνεφύσησεν, οὐδὲν ἦν ἕτερον ἢ πνεῦμα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος φύσεως ἐκείνης ἀποικίαν τὴν ἐνθάδε στειλάμενον ἐπ' ὠφελείᾳ τοῦ γένους ἡμῶν, ἵν' εἰ καὶ θνητόν ἐστι κατὰ τὴν ὁρατὴν μερίδα, κατὰ γοῦν τὴν ἀόρατον ἀθανατίζηται. διὸ καὶ κυρίως ἄν τις εἴποι τὸν ἄνθρωπον θνητῆς καὶ ἀθανάτου φύσεως εἶναι μεθόριον ἑκατέρας ὅσον ἀναγκαῖόν ἐστι μετέχοντα καὶ γεγενῆσθαι θνητὸν ὁμοῦ καὶ ἀθάνατον, θνητὸν μὲν κατὰ τὸ σῶμα, κατὰ δὲ τὴν διάνοιαν ἀθάνατον.

47. Ἐκεῖνος δ' ὁ πρῶτος ἄνθρωπος ὁ γηγενής, ὁ παντὸς τοῦ γένους ἡμῶν ἀρχηγέτης, ἑκάτερον ἄριστος ψυχήν τε καὶ σῶμα γεγενῆσθαί μοι δοκεῖ καὶ μακρῷ τινι τοὺς ἔπειτα διενεγκεῖν κατὰ τὰς ἐν ἀμφοτέροις ὑπερβάσεις· ὁ γὰρ ἀληθείᾳ καλὸς κἀγαθὸς οὗτος ὄντως ἦν. τεκμηριώσαιτο δ' ἄν τις τὴν μὲν τοῦ σώματος εὐμορφίαν ἐκ τριῶν, ὧν ἐστι πρῶτον τόδε· ἄρτι τῆς γῆς νεοκτίστου φανείσης κατὰ τὴν τοῦ πολλοῦ | ὕδατος διάκρισιν, ὃ προσερρήθη θάλαττα, τὴν ὕλην p. 33 M.
συνέβαινε τῶν γινομένων ἀμιγῆ καὶ ἄδολον καὶ καθαρὰν ἔτι δ' ὁλκὸν καὶ εὔεργον εἶναι, ἐξ ἧς τὰ ἀποτελούμενα εἰκότως ἦν ἀνυπαίτια. δεύτερον δέ, οὐκ ἐκ τοῦ τυχόντος μέρους τῆς γῆς ἔοικεν ὁ θεὸς χοῦν λαβὼν τὸν ἀνθρωποειδῆ τοῦτον ἀνδριάντα πλάττειν ἐθελῆσαι μετὰ τῆς ἀνωτάτω σπουδῆς, ἀλλὰ διακρίνας ἐξ ἁπάσης τὸ βέλτιστον,

---

1 πάντων *M*: ἁπάντων *ceteri* ὃ γὰρ scripsi: τὸ γὰρ *codd.* 2 φύσεως ἐκείνης *M*: ἐκείνης φύσεως *ceteri* ἀποικίαν] μετοικίαν *M* 3 ἵν' om. *M* θνητόν] θνητὸς ὁ ἄνθρωπος Christoph. Mang. 4 ἀθανατίζεται *MF* 5 εἴπῃ *FHI*, εἴπῃ (οι) *K*, εἴποι (η) *L* 7 μὲν om. *M* τὸ om. *MD* 8 διάνοιαν] ψυχὴν *M* 10 ἑκάτερον scripsi: ἑκατέρων *M*, ἑκάτερα *ceteri* cf. p. 55,12 ψυχῆς τε καὶ σώματος *M* 11 μοι γεγενῆσθαι δοκεῖ *a* 12 ὑπερβάσεις] ὑπερβολὰς *M*, μεταβολὰς *F*, μεταβολὰς in marg. *HI* ἀληθείᾳ *MFa*: ἐν ἀληθείᾳ *b* καὶ καλὸς καὶ ἀγαθὸς *a* οὗτος ὄντως *M*: ὄντως οὗτος *ceteri* 13 μὲν om. *M* 14 verba ὧν ἐστι πρῶτον om. *M* τόδε· ἄρτι] τό, τε ἄρτι *M* νεοτίκτου *M* κατὰ] μετὰ coni. Markland 15 τοῦ om. *a* πολλὴν *D* προσερήθη *B*, προσερέθη *D* θάλαττα *M*: θάλασσα *ceteri* 16 γιγνομένων *b* καὶ καθαρὰν] καθόλου *a* verba ἔτι δ' ὁλκὸν καὶ εὔεργον accesserunt ex *M*, om. *ceteri* 17 ἐξ ἧς] ἑξῆς *FI* ἀποτελούμενα *M*: ἐπιτελούμενα *ceteri* 18 οὐκ *codd.*: οὐδὲ *edd.* 19 τὸν ἀνθρωποειδῆ *codd.* (Turn.): τὸν μὲν ἀνθρωποειδῆ Mang. τουτονὶ *M*

---

1 de concup. II 356 τὸ δ' ἐμφυσώμενον δῆλον ὡς αἰθέριον ἦν πνεῦμα καὶ εἰ δή τι αἰθερίου πνεύματος κρεῖττον, ἅτε τῆς μακαρίας καὶ τρισμακαρίας φύσεως ἀπαύγασμα.

ἐκ καθαρᾶς ὕλης τὸ καθαρώτατον καὶ διηθημένον ἄκρως, ὃ πρὸς τὴν κατασκευὴν μάλισθ᾽ ἥρμοζεν· οἶκος γάρ τις ἢ νεὼς ἱερὸς ἐτεκταίνετο ψυχῆς λογικῆς, ἣν ἔμελλεν ἀγαλματοφορήσειν ἀγαλμάτων τὸ θεοειδέστατον. τρίτον δέ, ὃ μηδὲ σύγκρισιν ἔχει πρὸς τὰ λεχθέντα, ὁ δημιουργὸς ἀγαθὸς ἦν τά τ᾽ ἄλλα καὶ τὴν ἐπιστήμην, ὡς ἕκαστον τῶν τοῦ σώματος μερῶν καὶ ἰδίᾳ καθ᾽ αὑτὸ τοὺς ἐπιβάλλοντας ἔχειν ἀριθμοὺς καὶ πρὸς τὴν τοῦ ὅλου κοινωνίαν εὐαρμόστως ἀπηκριβῶσθαι· μετὰ δὲ τῆς συμμετρίας καὶ εὐσαρκίαν προσανέπλαττε καὶ εὔχροιαν ἠνθογράφει βουλόμενος ὡς ἔνι μάλιστα κάλλιστον ὀφθῆναι τὸν πρῶτον ἄνθρωπον.

48. Ὅτι δὲ καὶ τὴν ψυχὴν ἄριστος ἦν, φανερόν· οὐδενὶ γὰρ ἑτέρῳ παραδείγματι τῶν ἐν γενέσει πρὸς τὴν κατασκευὴν αὐτῆς ἔοικε χρήσασθαι, μόνῳ δ᾽ ὡς εἶπον τῷ ἑαυτοῦ λόγῳ. διό φησιν ἀπεικόνισμα καὶ μίμημα γεγενῆσθαι τοῦτον τὸν ἄνθρωπον ἐμπνευσθέντα εἰς τὸ πρόσωπον, ἔνθα τῶν αἰσθήσεων ὁ τόπος, αἷς τὸ μὲν σῶμα ἐψύχωσεν ὁ δημιουργός, τὸν δὲ βασιλέα λογισμὸν ἐνιδρυσάμενος

1 ἐκ] καὶ *C* διηθημένον] διϊθημένον et in marg. εἶχε τὸ παλαιὸν διηθημένον διηνθημένον *M*, διηθημένον corr. ex διηθισμένον *F*, διηνθισμένον *H*, διηθισμένον et in marg. δηϊθημένον *I* 2 μάλιστα *codd.* ἢ νεὼς] ἦν ὡς *M* ἱερῷ *a* 3 ἐτεκταίνετο om. *M* verba ἣν ἔμελλεν — θεοειδέστατον om. *F* ἀγαλματοφορεῖν *M* 4 τρίτον δέ *Ma* : δέ om. *b* 6 καθ᾽ αὑτὸ τοὺς] κατὰ τοὺς *M* 8 εὐσαρκίας^ν *H*, εὐσαρκίας^αν *I*, εὐσαρκίνας *K* (in marg. corr. εὐσαρκίαν) 9 προσανέπλαττε *b* : προσαναπλάττει *M*, προσέπλαττε *a* 10 πρῶτον om. Richter et Müller 11/12 οὐδὲ γὰρ ἑτέρῳ παραδείγματι οὐδενὶ τῶν *F*, οὐδενὶ γὰρ ἑτέρων παραδειγμάτων *M* 12 αὐτῆς] αὐτοῦ *MF* 13 ὡς *codd.* (Turn.): ὥσπερ Mang. 14 τοῦτον] τούτου (scil. τοῦ λόγου) coni. Markland 15 αἷς] ἐν αἷς *M* μὲν om. *a* 16 τὸν δὲ βασιλέα *M* : τὸν βασιλέα δὲ *ceteri* ἱδρυσάμενος *M*

13 sqq. de concup. II 356 ἐκείνης (ψυχῆς) γὰρ οὐσία πνεῦμα θεῖον καὶ μάλιστα κατὰ Μωσῆν, ὃς ἐν τῇ κοσμοποιίᾳ φησὶν ἀνθρώπῳ τῷ πρώτῳ καὶ ἀρχηγέτῃ τοῦ γένους ἡμῶν ἐμφυσῆσαι πνοὴν ζωῆς τὸν θεὸν εἰς τὸ τοῦ σώματος ἡγεμονικώτατον τὸ πρόσωπον, ἔνθα αἱ δορυφόροι τοῦ νοῦ καθάπερ μεγάλου βασιλέως αἰσθήσεις παρίδρυνται. de plant. I 332 ὁ δὲ μέγας Μωσῆς οὐδενὶ τῶν γεγονότων τῆς λογικῆς ψυχῆς τὸ εἶδος ὡμοίωσεν, ἀλλ᾽ εἶπεν αὐτὴν τοῦ θείου καὶ ἀοράτου πνεύματος ἐκείνου δόκιμον εἶναι νόμισμα σημειωθὲν καὶ τυπωθὲν σφραγῖδι θεοῦ, ἧς ὁ χαρακτήρ ἐστιν ἀΐδιος λόγος· „ἐνέπνευσε γάρ, φησίν, ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς", ὥστε ἀνάγκη πρὸς τὸν ἐμπνέοντα τὸν δεχόμενον ἀπεικονίσθαι· διὸ καὶ λέγεται κατ᾽ εἰκόνα θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι, οὐ μὴν κατ᾽ εἰκόνα τινὸς τῶν γεγονότων.

ῷ ἡγεμονικῷ παρέδωκε δορυφορεῖσθαι πρὸς τὰς χρωμάτων καὶ ›ωνῶν χυλῶν τ' αὖ καὶ ἀτμῶν καὶ τῶν παραπλησίων ἀντι- .ήψεις, ἃς ἄνευ αἰσθήσεως δι' αὐτοῦ μόνου καταλαβεῖν οὐχ οἷός τ' |ν. ἀνάγκη δὲ παγκάλου παραδείγματος πάγκαλον εἶναι μίμημα. ‹εοῦ δὲ λόγος καὶ αὐτοῦ κάλλους, ὅπερ ἐστὶν ἐν τῇ φύσει κάλλος, ;μείνων, οὐ κοσμούμενος κάλλει, κόσμος δ' αὐτός, εἰ δεῖ τἀληθὲς ἰπεῖν, εὐπρεπέστατος ἐκείνου.

49. Τοιοῦτος μὲν ὁ πρῶτος ἄνθρωπος κατά τε σῶμα καὶ ›υχὴν γεγενῆσθαί μοι δοκεῖ, τούς τε νῦν ὄντας καὶ τοὺς πρὸ ἡμῶν ιενεγκὼν ἅπαντας· ἡ μὲν γὰρ ἡμετέρα γένεσις ἐξ ἀνθρώπων, τὸν ὲ θεὸς ἐδημιούργησεν· ἐφ' ὅσον δὲ κρείττων ὁ ποιῶν, ἐπὶ τοσοῦτον :αὶ τὸ γινόμενον ἄμεινον· ὥσπερ γὰρ τὸ ἀκμάζον αἰεὶ τοῦ παρη- ›ηκότος βέλτιόν ἐστιν, εἴτε ζῷον εἴτε φυτὸν εἴτε καρπὸς εἴτ' ἄλλο ι τῶν ἐν τῇ φύσει τυγχάνοι, οὕτως ἔοικεν ὁ μὲν πρῶτος διαπλασ- ›εὶς ἄνθρωπος ἀκμὴ τοῦ ἡμετέρου παντὸς ὑπάρξαι γένους, οἱ δ' :πειτα μηκέθ' ὁμοίως ἐπακμάσαι [τῶν κατὰ γενεὰν ἀμαυροτέρας ιεὶ τάς τε μορφὰς καὶ τὰς δυνάμεις | λαμβανόντων]. ὅπερ ἐπί τε p. 34 M. τλαστικῆς καὶ ζῳγραφίας γινόμενον εἶδον, — ἀποδεῖ γὰρ τὰ μιμή- ιατα τῶν ἀρχετύπων, τὰ δ' ἀπὸ τῶν μιμημάτων γραφόμενα καὶ ιλαττόμενα πολὺ μᾶλλον, ἅτε μακρὰν ἀφεστῶτα τῆς ἀρχῆς· παρα- τλήσιον δὲ πάθος καὶ ἡ μαγνῆτις λίθος ἐπιδείκνυται· τῶν γὰρ ιδηρῶν δακτυλίων ὁ μὲν αὐτῆς ψαύσας βιαιότατα κρατεῖται, ὁ δὲ :οῦ ψαύσαντος ἧττον· ἐκκρέμαται δὲ καὶ τρίτος δευτέρου καὶ

---

1 τῷ ἡγεμονικῷ παρέδωκε] παρέδωκε τὸ ἡγεμονικὸν *M* καὶ ante πρὸς dd. *M* τὰς τῶν χρωμάτων *a* 2 χιλῶν *FBD* χυλῶν τ' αὖ] χυμῶν ῦ *M* παραπλησίον *F* 3 ἃς] ὡς *M* αὑτοῦ *HI*: αὐτοῦ *ceteri* 4 τὸ ίμημα *M* 5 φύσει αἰσθητῷ Christoph. Mang. 6 αὑτός *M*: αὐτὸς ὶν *ceteri* 7 ἐκπρεπέστατος *b* 8 μὲν οὖν Mang. κατὰ τὸ σῶμα *D* 9 γεγενῆσθαι] γενέσθαι *M* 10 γένεσις *MFa*: γέννησις *b* 11 κρεῖττον *M* τοσοῦτον *MFa*: τοσοῦτο *b* 12 γινόμενον *MD*: γενόμενον *ABCb* γὰρ] ε *b*, τὲ *F* αἰεὶ *M*: ἀεὶ *ceteri* 13 εἴτ' ἄλλο] εἴτε τῶν ἄλλων *M* 14 τυγχάνει *BD* μὲν om. *a* 16 ἐπακμάζοντες *M* verba τῶν κατὰ ενεάν — λαμβανόντων (sic *Mb*, λαβόντων *a*) del. Müller 18 πλαστι- ῆς *M*: τῆς πλαστικῆς *ceteri* γενόμενον *ABC* εἶδον] εἶδος ἐστίν *M*; δεῖν ἐστιν coni. Mangey ἀποδέει *M* μιμήματα *Ma*: μιμητὰ *b* 19 δ' m. *M* 21 λίθος ἐπιδείκνυται *Fa*: λίθος ἐπιδείκνυσι *M*, ἐπιδείκνυται α΄ λίθος β΄ (sic) *H*, ἐπιδείκνυται β΄ λίθος α΄ *I*, ἐπιδείκνυται λίθος *KL* 22 βιαιότατα] εβαιότατα *a* 23 δὲ om. *M*

τέταρτος τρίτου καὶ πέμπτος τετάρτου καὶ ἑτέρων ἕτεροι κατὰ μακρὸν στοῖχον ὑπὸ μιᾶς ὁλκοῦ δυνάμεως συνεχόμενοι, πλὴν οὐ τὸν αὐτὸν τρόπον· ἀεὶ γὰρ οἱ πόρρω τῆς ἀρχῆς ἀπηρτημένοι χαλῶντα διὰ τὸ τὴν ὁλκὴν ἀνίεσθαι μηκέθ' ὁμοίως σφίγγειν δυναμένην· — ὅμοιον δή τι πεπονθέναι καὶ τὸ γένος τῶν ἀνθρώπων φαίνεται, καθ' ἑκάστην γενεὰν ἀμυδροτέρας λαμβανόντων τάς τε τοῦ σώματος καὶ τὰς τῆς ψυχῆς δυνάμεις καὶ ποιότητας.

50. Τὸν δ' ἀρχηγέτην ἐκεῖνον οὐ μόνον πρῶτον ἄνθρωπον, ἀλλὰ καὶ μόνον κοσμοπολίτην λέγοντες ἀψευδέστατα ἐροῦμεν· ἦν γὰρ οἶκος αὐτῷ καὶ πόλις ὁ κόσμος, μηδεμιᾶς χειροποιήτου κατασκευῆς δεδημιουργημένης ἐκ λίθων καὶ ξύλων ὕλης, ᾧ καθάπερ ἐν πατρίδι μετὰ πάσης ἀσφαλείας ἐνδιῃτᾶτο φόβου μὲν ἐκτὸς ὤν, ἅτε τῆς τῶν περιγείων ἡγεμονίας ἀξιωθεὶς καὶ πάντων ὅσα θνητὰ καταπτηχότων καὶ ὑπακούειν ὡς δεσπότῃ δεδιδαγμένων ἢ βιασθέντων, ἐν εὐπαθείαις δὲ ταῖς ἐν εἰρήνῃ ἀπολέμῳ ζῶν ἀνεπιλήπτως. ἐπεὶ δὲ πᾶσα πόλις εὔνομος ἔχει πολιτείαν, ἀναγκαίως συνέβαινε τῷ κοσμοπολίτῃ χρῆσθαι πολιτείᾳ ᾗ καὶ σύμπας ὁ κόσμος· αὕτη δ' ἐστὶν ὁ τῆς φύσεως ὀρθὸς λόγος, ὃς κυριωτέρᾳ κλήσει προσονομάζεται θεσμός, νόμος θεῖος ὤν, καθ' ὃν τὰ προσήκοντα καὶ ἐπιβάλλοντα ἑκάστοις ἀπενεμήθη. ταύτης τῆς πόλεως καὶ πολιτείας ἔδει τινὰς εἶναι πρὸ ἀνθρώπου πολίτας, οἳ λέγοιντ' ἂν ἐνδίκως

---

2 μακρὸν στοῖχον *b* : μικρὸν στίχον *MC*, μικρὸν στοῖχον *A*, μικρὸν στοῖχον *B*, μικρὸν στοῖκον *D* πλὴν οὐ *Mb* : πλὴν δὲ οὐ *a* 3 ἀπηρτημένοι *MFa*: ἐπηρτημένοι *b* 4 τὸ om. *M* ἀνίεσθαι *M* (coni. Mangey) : ἀνεῖσθαι *ceteri* 5 δή] δέ *M* 10 οἶκος αὐτῷ καὶ πόλις ὁ κόσμος *M*: οἶκος ὁ κόσμος αὐτῷ καὶ πόλις *ceteri* 11 καὶ] ἢ *M*[h] 13 τῶν om. *a* 14 ἀκούειν (sic) ὡς δεσπότῃ *M* : ὡς δεσπότῃ (δεσπότην *D*) ὑπακούειν *ceteri* δεδιγμένων *AC*, δεδειγμένων *B* 15 εὐπαθείαις] εὐσταθείαις *BD* δὲ om. *M* ἀπολέμῳ *MFI*: ἀπολέμως *HKLa* ἀνεπιλήπτως *M* : ἀνεπίληπτος *ceteri* 16 εὐνόμως *b*, εὔνομος corr. ex εὐνόμως *F*, ἔννομος Mang. ἀναγκαῖον *MF* ξυνέβαινε *L* (*edd.*) 17 πολιτείᾳ ᾗ] πολιτείαν *M* 18 ὃς] ὡς *M* προσονομάζεσθαι *M* 19 καὶ om. *M* 20 ταύτης] τῆς δὲ (sic) Mang. πολιτείας] πολίτας *M*[h] *a* 21 λέγοιτ' *M*[h] ἐνδίκως] εἰκότως *a*

---

17 de Josepho II 46 . . . ἡ μὲν γὰρ μεγαλόπολις ὅδε ὁ κόσμος ἐστὶ καὶ μιᾷ χρῆται πολιτείᾳ καὶ νόμῳ ἑνί· λόγος δ' ἐστὶ φύσεως, προστακτικὸς μὲν ὧν πρακτέον, ἀπαγορευτικὸς δ' ὧν οὐ ποιητέον . . . . προσθῆκαι μὲν γὰρ οἱ κατὰ πόλεις νόμοι τοῦ τῆς φύσεως ὀρθοῦ λόγου· προσθήκη δ' ἐστὶ πολιτικὸς ἀνὴρ τοῦ βιοῦντος κατὰ φύσιν.

μεγαλοπολῖται, τὸν μέγιστον περίβολον οἰκεῖν λαχόντες καὶ τῷ μεγίστῳ καὶ τελειοτάτῳ πολιτεύματι ἐγγραφέντες. οὗτοι δὲ τίνες ἂν εἶεν ὅτι μὴ λογικαὶ καὶ θεῖαι φύσεις, αἱ μὲν ἀσώματοι καὶ νοηταί, αἱ δ' οὐκ ἄνευ σωμάτων, ὁποίους συμβέβηκεν εἶναι τοὺς ἀστέρας; οἷς προσομιλῶν καὶ συνδιαιτώμενος εἰκότως ἐν ἀκράτῳ διέτριβεν εὐδαιμονίᾳ· συγγενής τε καὶ ἀγχίσπορος ὢν τοῦ ἡγεμόνος, ἅτε δὴ πολλοῦ ῥυέντος εἰς αὐτὸν τοῦ θείου πνεύματος, πάντα καὶ λέγειν καὶ πράττειν ἐσπούδαζεν εἰς ἀρέσκειαν τοῦ πατρὸς καὶ βασιλέως, ἑπόμενος κατ' ἴχνος αὐτῷ ταῖς ὁδοῖς ἃς λεωφόρους | ἀνατέμνουσιν p. 35 M. ἀρεταί, δι' ὧν μόναις ψυχαῖς θέμις προσέρχεσθαι τέλος ἡγουμέναις τὴν πρὸς τὸν γεννήσαντα θεὸν ἐξομοίωσιν.

51. Τοῦ μὲν οὖν πρώτου φύντος ἀνθρώπου τὸ καθ' ἑκάτερον ψυχήν τε καὶ σῶμα κάλλος, εἰ καὶ πολλῷ τῆς ἀληθείας ἔλαττον, ἀλλ' οὖν κατὰ τὴν ἡμετέραν δύναμιν ὡς οἷόν τ' ἦν εἴρηται. τοὺς δ' ἀπογόνους τῆς ἐκείνου μετέχοντας ἰδέας ἀναγκαῖον, εἰ καὶ ἀμυδρούς, ἀλλ' οὖν ἔτι σῴζειν τοὺς τύπους τῆς πρὸς τὸν προπάτορα συγγενείας. ἡ δὲ συγγένεια τίς; πᾶς ἄνθρωπος κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται λόγῳ θείῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονώς, κατὰ δὲ τὴν τοῦ σώματος κατασκευὴν ἅπαντι τῷ κόσμῳ· συγκέκραται γὰρ ἐκ τῶν αὐτῶν, γῆς

---

1 οἱ post μεγαλοπολῖται add. *BD* 2 γραφέντες *a* 3 λογικαὶ καὶ θεῖαι *M* : καὶ om. *ceteri* 5 προσομιλῶν corr. ex συνομιλῶν *F*[2] ἀκράτῳ] ἀκροτάτῳ *ABC*, ἀκροτάτῃ *D* 6 δὴ] δὲ *FHIK* 7 τοῦ om. *a* 8 πατρὸς] πνεύματος (πνς) *M* μετιὼν post βασιλέως add. *M* 9 κατ' ἴχνος αὐτῷ *M* : αὐτῷ κατ' ἴχνος *ceteri* ὡς inter ἃς et λεωφόρους inseruit Mangey *ex Mss.* (?) *et Christoph.* 10 θέμις ψυχαῖς *a* δι' ὧν — ἡγουμέναις] διότι μόνον ἡ ψυχὴ (sic) θέμις προσέρχεσθαι τέλος ἡγουμένη *M* 12 τὸ (corr. ex τοῦ) μὲν οὖν τοῦ πρώτου *F* πρῶτον *A* 13 ψυχήν τε *MFa* : καὶ ψυχὴν *b* ἐλάττω *M* 15 τῆς om. *M* ἐκείνου *MFa* : ἐκείνων *b* μετασχόντας *a* ἰδέας] οὐσίας *E* (teste Mangeio), γρ. οὐσίας in marg. *F*[2] ἦν post ἀναγκαῖον add. *M* 16 διασώζειν *M* προπάτορα *M* : πατέρα *ceteri* 17 τίς; πᾶς] πᾶς τις *M* verba κατὰ μὲν om. *M* 18 ᾠκείωται] ᾧ οἰκειοῦται *M* λόγῳ θείῳ *M* : θείῳ λόγῳ *ceteri* 20 συγκέκραται *M* (coni. Creuzer) : συγκέκριται *ceteri* τε post γῆς add. *D*

---

17 Leg. alleg. I 119 τὸ μὲν οὖν σῶμα ἐκ γῆς δεδημιούργηται, ἡ δὲ ψυχὴ αἰθέρος ἐστίν, ἀπόσπασμα θεῖον. quod det. pot. insid. I 208 sq. πῶς οὖν εἰκὸς βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν μήνιγγι ἢ καρδίᾳ βραχέσιν ὄγκοις ἐγκατειλημμένον μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι τοσοῦτον, εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς ἐκείνης ἀπόσπασμα ἦν οὐ διαιρετόν; 20 [Philo] de incorr. mundi II 498 ἄνθρωποι γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός

καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός, ἑκάστου τῶν στοιχείων εἰσενεγκόντος τὸ ἐπιβάλλον μέρος πρὸς ἐκπλήρωσιν αὐταρκεστάτης ὕλης, ἣν ἔδει λαβεῖν τὸν δημιουργόν, ἵνα τεχνιτεύσῃ τὴν ὁρατὴν ταύτην εἰκόνα· καὶ προσέτι πᾶσι τοῖς λεχθεῖσιν ὡς οἰκειοτάτοις καὶ συγγενεστάτοις χωρίοις ἐνδιαιτᾶται τόπους ἀμείβων καὶ ἄλλοτ' ἄλλοις ἐπιφοιτῶν, ὡς κυριώτατα φάναι τὸν ἄνθρωπον πάντ' εἶναι, χερσαῖον ἔνυδρον πτηνὸν οὐράνιον· ᾗ μὲν γὰρ οἰκεῖ καὶ βέβηκεν ἐπὶ γῆς, χερσαῖον ζῷόν ἐστιν, ᾗ δὲ δύεται καὶ νήχεται καὶ πλεῖ πολλάκις, ἔνυδρον — ἔμποροι καὶ ναύκληροι καὶ πορφυρεῖς καὶ ὅσοι τὴν ἐπ' ὀστρέοις καὶ ἰχθύσιν ἄγραν μετίασι τοῦ λεχθέντος εἰσὶ σαφεστάτη πίστις —, ᾗ δὲ μετέωρον ἀπὸ γῆς ἀνώφοιτον ἐξῆρται τὸ σῶμα, λέγοιτ' ἂν ἐνδίκως ἀεροπόρον εἶναι, πρὸς δὲ καὶ οὐράνιον, διὰ τῆς ἡγεμονικωτάτης τῶν αἰσθήσεων ὄψεως ἡλίῳ καὶ σελήνῃ καὶ ἑκάστῳ τῶν ἄλλων ἀστέρων πλανήτων καὶ ἀπλανῶν συνεγγίζων.

52. Παγκάλως δὲ καὶ τὴν θέσιν τῶν ὀνομάτων ἀνῆψε τῷ πρώτῳ· σοφίας γὰρ καὶ βασιλείας τὸ ἔργον, σοφὸς δ' ἐκεῖνος αὐτομαθὴς καὶ αὐτοδίδακτος χάρισι θείαις γενόμενος καὶ προσέτι βασιλεύς· ἐμπρεπὲς δ' ἡγεμόνι προσαγορεύειν ἕκαστον τῶν ὑπηκόων.
p. 36 M. ὑπερβάλλουσα δ' ὡς εἰκὸς | δύναμις ἀρχῆς ἦν περὶ τὸν πρῶτον ἐκεῖνον ἄνθρωπον, ὃν σπουδῇ διαπλάσας ὁ θεὸς ἠξίου δευτερείων,

---

1/2 εἰσενεγκόντος] ἐξενεγκόντος *M* 3 τεχνιτεύσῃ *M*: τεχνιτεύσηται *ceteri* 4 ὡς συγγενεστάτοις καὶ οἰκειοτάτοις *BD* 6 κυριώτατον *F*[1], corr. *F*[2] 7 ᾗ] εἰ *M* γὰρ om. *D* 8 ᾗ] εἰ *M* 10 καὶ ἰχθύσιν om. *D* εἰσί] ἐστὶ *M* 11 ᾗ] εἰ *M* ἀνώφοιτον] ἄνω φοιτῶν *M* ἐξῆρται coni. Mangey: ἐξήρτηται *codd.* 14 πλανήτων ἀστέρων *M* συνεγγίζων *MBD*: συνεγγίζον (ο corr. ex ω) *A*, συνεγγίζον *Cb* 15 ὀνομάτων] ὀμμάτων *BD* 17 χάρισι] χερσὶ *M* καὶ προσέτι *Mb*: καὶ προσέτι δὲ *a* 18 βασιλεῖ *D* βασιλεὺς εὐπρεπὴς καὶ ἡγεμών· προσαγορεύειν δὲ ἑκάστῳ τῶν ὑπηκόων ὑπερβαλλούσης ὡς εἰκὸς κτλ. *M*

ἐστιν, [οὐρανοῦ], γῆς, ⟨ὕδατος⟩, ἀέρος τε καὶ πυρός, βραχέα κατὰ φύσιν μέρη δανεισάμενοι συνεκράθημεν. 12 quod det. pot. insid. I 207 μόνον γὰρ δὴ τῶν ἐπὶ γῆς φυτὸν οὐράνιον ὁ θεὸς ἄνθρωπον εἰργάσατο, τῶν μὲν ἄλλων τὰς κεφαλὰς πηξάμενος ἐν χέρσῳ — κατωκάρα γὰρ πάντα —, ἀνθρώπου δ' εἰς τὸ ἄνω προαγαγών· . . . τὰς δὲ νοῦ δορυφόρους αἰσθήσεις καὶ αὐτὸν ἐκεῖνον πορρωτάτω μὲν τῶν περὶ γῆν ἐξῴκισε, ταῖς δ' ἀέρος καὶ οὐρανοῦ περιόδοις ἀφθάρτοις οὔσαις ἐνεδήσατο. de plant. I 332 ἐξαιρέτου δὲ τῆς κατασκευῆς ἔλαχεν ἄνθρωπος· τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις περιήγαγε κάτω κάμψας, διὸ νένευκε πρὸς χέρσον, ἀνθρώπου δ' ἔμπαλιν ἀνώρθωσεν, ἵνα τὸν οὐρανὸν καταθεᾶται, φυτὸν οὐκ ἐπίγειον ἀλλ' οὐράνιον, ὡς ὁ παλαιὸς λόγος, ὑπάρχων.

παρχον μὲν αὐτοῦ, τῶν δ' ἄλλων ἁπάντων ἡγεμόνα τιθείς, ὁπότε αὶ οἱ τοσαύταις γενεαῖς ὕστερον φύντες, ἤδη τοῦ γένους διὰ μακρὰς ρόνων περιόδους ἐξιτήλου ὄντος, οὐδὲν ἧττον ἔτι δεσπόζουσι τῶν λόγων καθάπερ λαμπάδιον ἀρχῆς καὶ δυναστείας ἀπὸ τοῦ πρώτου ιαδοθὲν φυλάττοντες. φησὶν οὖν ὅτι πάντα τὰ ζῷα ἤγαγεν ὁ θεὸς ρὸς τὸν Ἀδάμ, ἰδεῖν βουλόμενος τίνας θήσεται προσρήσεις ἑκάστοις, ὐχ ὅτι ἐνεδοίαζεν — ἄγνωστον γὰρ οὐδὲν θεῷ —, ἀλλ' ὅτι ᾔδει ὴν λογικὴν ἐν θνητῷ φύσιν κατεσκευακὼς αὐτοκίνητον, ὅπως ἀμέτοχος αὐτὸς ᾖ κακίας. ἀπεπειρᾶτο δ' ὡς ὑφηγητὴς γνωρίμου τὴν ἐνδιάθετον ἕξιν ἀνακινῶν καὶ πρός τι τῶν οἰκείων ἀνακαλῶν ἔργων, ἵν' ἀπαυτοματίσῃ τὰς θέσεις μήτ' ἀνοικείους μήτ' ἀναρμόστους ἀλλ' ἐμφαινούσας εὖ μάλα τὰς τῶν ὑποκειμένων ἰδιότητας. ἐκράτου γὰρ ἔτι τῆς λογικῆς φύσεως ὑπαρχούσης ἐν ψυχῇ καὶ μηδενὸς ἀρρωστήματος ἢ νοσήματος ἢ πάθους παρεισεληλυθότος, τὰς φαντασίας τῶν σωμάτων καὶ πραγμάτων ἀκραιφνεστάτας λαμβάνων εὐθυβόλους ἐποιεῖτο τὰς κλήσεις, εὖ μάλα στοχαζόμενος τῶν δηλουμένων, ὡς ἅμα λεχθῆναί τε καὶ νοηθῆναι τὰς φύσεις αὐτῶν. οὕτω μὲν ἐν ἅπασι τοῖς καλοῖς διέφερεν, ἐπ' αὐτὸ τὸ πέρας φθάνων τῆς ἀνθρωπίνης εὐδαιμονίας.

53. Ἐπεὶ δ' οὐδὲν τῶν ἐν γενέσει βέβαιον, τροπὰς δὲ καὶ

---

1 αὐτοῦ *A*, αὐτοῦ *ceteri* ἁπάντων ἡγεμόνα *M*: ἡγεμόνα πάντων *ceteri* τίθεισι *D*, θείς *C* 5 φυλάσσοντες *D* 6 τὸν Ἀδάμ *M*: τὸν ἄνθρωπον *ceteri* cf. LXX 7 ἐνεδίαζεν *D*, ἐνεδοίασεν Mang. ᾔδει] ἤδη *M* 8 πονητόν post αὐτοκίνητον add. *M* a verbo ὅπως incipit man. 2 in *F* 9 αὐτὸς om. *M* 10 πρός τι *M*: προσέτι *ceteri*; πρὸς ἐπίδειξιν coni. Mangey 11 ἔργων ante ἀνακαλῶν *a* 12 τὰς om. *b* (habet *F*) 13 γὰρ : an scrib. δὲ? φύσεως] ἕξεως *M* 14 ἢ νοσήματος om. *M* 15 τὰς φαντασίας *MFa*: ταῖς φαντασίαις *b* καὶ πραγμάτων *M*: ἢ πραγμάτων *ceteri* ἀκραιφνεστάτας λαμβάνων *MFa*: ἀκραιφνεστάταις χρώμενος *b* 18 διέφερεν] διέφθειρεν *C* ὡς ἐπ' αὐτὸ τὸ πέρας φθάνειν Christoph. Mang. 20 τῶν om. *D*

---

5 sqq. Frg. II 653 „Ἤγαγεν ὁ θεὸς τὰ ζῷα πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά". οὐ γὰρ ἐνδοιάζει θεός, ἀλλ' ἐπειδὴ νοῦν ἔδωκε τῷ ἀνθρώπῳ τῷ πρωτογενεῖ καὶ σπουδαίῳ, καθ' ὃν ἐπιστημονικὸς ὢν πέφυκε λογίζεσθαι, καθάπερ ὑφηγητὴς γνώριμον κινεῖ πρὸς ἐπίδειξιν οἰκείαν καὶ ἀφορᾷ τὰ ἄριστα αὐτοῦ τῆς ψυχῆς ἔκγονα. . . . ἀνδρὸς δ' ἐπιστημονικωτάτου καὶ φρονήσει διαφέροντος οἰκειότατον ταῦτο τὸ ἔργον· οὐ σοφῷ μόνον, ἀλλὰ καὶ τῷ πρωτογενεῖ τῶν ὀνομάτων ἡ θέσις· ἔδει γὰρ ἡγεμόνα μὲν τοῦ ἀνθρωπείου ⟨γένους⟩, βασιλέα δὲ τῶν γηγενῶν πάντων, καὶ τοῦτο λαχεῖν γῆρας ἐξαίρετον, ἵν' ὥσπερ πρῶτος ᾔδει (εἶδε?) τὰ ζῷα, καὶ πρῶτος εἰσηγητὴς καὶ εὑρετὴς γένηται τῶν ἐπωνυμιῶν.

μεταβολὰς ἀναγκαίως τὰ θνητὰ δέχεται, ἐχρῆν καὶ τὸν πρῶτον ἄνθρωπον ἀπολαῦσαί τινος κακοπραγίας. ἀρχὴ δὲ τῆς ὑπαιτίου ζωῆς αὐτῷ γίνεται γυνή· μέχρι μὲν γὰρ εἷς ἦν, ὡμοιοῦτο κατὰ τὴν μόνωσιν κόσμῳ καὶ θεῷ καὶ τῆς ἑκατέρου φύσεως ἐναπεμάττετο τῇ ψυχῇ τοὺς χαρακτῆρας, οὐ πάντας ἀλλ' ὅσους χωρῆσαι δυνατὸν θνητὴν σύστασιν· ἐπεὶ δ' ἐπλάσθη καὶ γυνή, θεασάμενος ἀδελφὸν εἶδος καὶ συγγενῆ μορφὴν ἠσμένισε τῇ θέᾳ καὶ προσιὼν ἠσπάζετο· ἡ δ' οὐδὲν ἐκείνου προσβλέπουσα ζῷον ἐμφερέστερον ἑαυτῇ γάνυταί τε καὶ ἀντιπροσφθέγγεται μετ' αἰδοῦς· ἔρως δ' ἐπιγενόμενος καθάπερ ἑνὸς ζῴου διττὰ τμήματα διεστηκότα συναγαγὼν εἰς ταὐτὸν ἁρμόττεται, πόθον ἐνιδρυσάμενος ἑκατέρῳ τῆς πρὸς θάτερον κοινωνίας εἰς τὴν τοῦ ὁμοίου γένεσιν· ὁ δὲ πόθος οὗτος καὶ τὴν τῶν σωμάτων ἡδονὴν ἐγέννησεν, ἥτις ἐστὶν ἀδικημάτων καὶ παρανομημάτων | ἀρχή, δι' ἣν ὑπαλλάττονται τὸν θνητὸν καὶ κακοδαίμονα βίον ἀντ' ἀθανάτου καὶ εὐδαίμονος.

p. 37 M.

54. Ἔτι δὲ τοῦ ἀνδρὸς μονήρη βίον ζῶντος, μήπω διαπλασθείσης τῆς γυναικός, φυτευθῆναι λόγος ἔχει παράδεισον ὑπὸ θεοῦ τοῖς παρ' ἡμῖν οὐδὲν προσεοικότα· τῶν μὲν γάρ ἐστιν ἄψυχος ἡ ὕλη, παντοίων δένδρων κατάπλεως, τῶν μὲν ἀειθαλῶν πρὸς τὴν ὄψεως ἀδιάστατον ἡδονήν, τῶν δὲ ταῖς ἐαριναῖς ὥραις ἡβώντων καὶ βλαστανόντων, καὶ τῶν μὲν ἥμερον καρπὸν ἀνθρώποις φερόντων, οὐ πρὸς ἀναγκαίαν μόνον χρῆσιν τροφῆς ἀλλὰ καὶ πρὸς περιττὴν ἀπόλαυσιν ἁβροδιαίτου βίου, τῶν δ' οὐχ ὅμοιον, ὃς ἀναγκαίως θηρίοις ἀπενεμήθη· κατὰ δὲ τὸν θεῖον παράδεισον ἔμψυχα καὶ λογικὰ

1 ἀναγκαίως *M*: om. *F*, ἀναγκαίας *ceteri* καὶ om. *a* 3 αὐτοῦ *a* μὲν om. *C* γὰρ in marg. *A*, om. *BD* τῷ post ὡμοιοῦτο add. libri omnes praeter *M* 4 μόνωσιν *M*: γένεσιν *ceteri* cf. p. 66,21. 67,10 ἑκατέρῳ *M* ἐναπεμάττετο coni. Mangey: ἀπεμάττετο *codd.* τῇ om. *M* 6 τὴν ante θνητὴν add. *M* ἐπλάσθη] ἐγενήθη *M* 7 ἐνησμένισε Mang. 8 ἣ δ' *A* οὐδ' ἐν ἐκείνῳ *a*, ἐκείνῳ etiam *FH* ἐμφανέστερον *a* γάνυται] γάννυται *ab*, γαυροῦται *M* 9 τε om. *M* ἀντιπροσφθέγγεται] προσαγορεύεται *M* ἐπιγινόμενος *B*, γενόμενος *M* 11 ἁρμόττεται *b*: ἡρμονίζετο *M* ἁρμόττοντα πόθον ἐνίδρυσεν *a* 14 δι' ἣν *M*: δι' οὗ *ceteri* 15 ἀντ' om. *M* 16 δὲ καὶ *F* 17 τῆς γυναικός *M*: τῆς om. *ceteri* 21 τῶν *MFIa*: τὸν corr. ex τῶν *H*, τὸν *KL* 22 μόνην *M* πρὸς om. *I* 23 τῶν δ' οὐχ ὅμοιον scripsi: τῶν δ' οὐχ ὁμοίων *M*, τῶν δ' οὐχ ὅμοιον om. H^1*a*, τὸν δ' οὐχ ὅμοιον *F*H^2*IK*, τὸν δ' οὐχ ἥμερον *L* (et *K* in marg.), τὸν δ' ἀνήμερον Christoph. Mang. ὃς ἀναγκαίως] ὡς ἀναγκαίως *M*, ὃς ἀναγκαῖος (ος corr. ex ως) *F*, ὃς (ὧς *I*) ἀναγκαίως ante τὸν δ' οὐχ ὅμοιον *IK*

φυτὰ πάντ᾽ εἶναι συμβέβηκε, καρπὸν φέροντα τὰς ἀρετὰς καὶ προσέτι τὴν ἀδιάφθορον σύνεσιν καὶ ἀγχίνοιαν, ᾗ γνωρίζεται τὰ καλὰ καὶ τὰ αἰσχρά, ζωήν τ᾽ ἄνοσον καὶ ἀφθαρσίαν καὶ πᾶν εἴ τι τούτοις ὁμοιότροπον. ταῦτα δέ μοι δοκεῖ συμβολικῶς μᾶλλον ἢ κυρίως φιλοσοφεῖσθαι· δένδρα γὰρ ἐπὶ γῆς οὔτε πέφηνέ πω πρότερον οὔτ᾽ αὖθις εἰκὸς φανεῖσθαι ζωῆς ἢ συνέσεως· ἀλλ᾽ ὡς ἔοικεν αἰνίττεται διὰ μὲν τοῦ παραδείσου τὸ τῆς ψυχῆς ἡγεμονικόν, ὅπερ ἐστὶ κατάπλεων οἷα φυτῶν μυρίων ὅσων δοξῶν, διὰ δὲ τοῦ δένδρου τῆς ζωῆς τὴν μεγίστην τῶν ἀρετῶν θεοσέβειαν, δι᾽ ἧς ἀθανατίζεται ἡ ψυχή, διὰ δὲ τοῦ καλῶν καὶ πονηρῶν γνωστικοῦ φρόνησιν τὴν μέσην, ᾗ διακρίνεται τἀναντία φύσει.

55. Θέμενος δὲ τούτους τοὺς ὅρους ἐν ψυχῇ καθάπερ δικαστὴς ἐσκόπει, πρὸς πότερον ἐπικλινῶς ἕξει. ὡς δ᾽ εἶδε ῥέπουσαν μὲν ἐπὶ πανουργίαν, εὐσεβείας δὲ καὶ ὁσιότητος ὀλιγωροῦσαν, ἐξ ὧν ἡ ἀθάνατος ζωὴ περιγίνεται, προὐβάλετο κατὰ τὸ εἰκὸς καὶ ἐφυγάδευσεν ἐκ τοῦ παραδείσου, μηδ᾽ ἐλπίδα τῆς εἰσαῦθις ἐπανόδου δυσίατα καὶ ἀθεράπευτα πλημμελούσῃ ψυχῇ παρασχών, ἐπεὶ καὶ ἡ τῆς ἀπάτης πρόφασις ἐπίληπτος ἦν οὐ μετρίως, ἣν οὐκ ἄξιον παρασιωπῆσαι. λέγεται τὸ παλαιὸν τὸ ἰοβόλον καὶ γηγενὲς ἑρπετὸν ὄφις ἀνθρώπου φωνὴν προΐεσθαι, καί ποτε προσελθὼν τῇ τοῦ πρώτου φύντος ἀνδρὸς γυναικὶ τῆς βραδυτῆτος καὶ τῆς ἄγαν εὐλαβείας ὀνειδίσαι, διότι

---

1 φυτὰ *MF*: τὰ φυτὰ *ceteri* 2 ἀδιάφθορον *b*: ἀδιάφορον *ABD*, διάφορον *MC* καὶ ἀγχίνοιαν om. *M* τὰ καλὰ καὶ τὰ αἰσχρά *M*: τὰ αἰσχρὰ καὶ καλὰ *ceteri* 3 ζωὴν ἄνεσιν (sic) *M* τούτοις *MFa*: τούτων *b* 5 πω] που *M* 6 εἰκὸς] οἶκος *D* 10 τοῦ τῶν καλῶν *a* τοῦ καλὸν καὶ πονηρὸν ὁριστικοῦ *M* ᾗ] ἢ *A* 12 Θέμενος] θεώμενος *I* δὲ] οὖν *a* τούτους τοὺς ὅρους *MF*: τοὺς ὅρους τούτους *ceteri* 13 ἐπὶ *M*: πρὸς *ceteri* 14 εὐσεβείας δὲ καὶ ὁσιότητος *M*: ὁσιότητος δὲ καὶ εὐσεβείας *ceteri* cf. p. 67,12 15 περιγίνεται *M*: ἐπιγίνεται *ceteri* προὐβάλετο *b*: προὐβάλλετο *MFa* κατὰ εἰκὸς Mang. 16 ἐπανόδου om. *D* 17 πλημμελούσῃ om. *F* ἐπειδὴ *M* 19 δὲ post λέγεται add. *B* ὁ ὄφις *M* 20 προσελθεῖν *F*

---

6 Leg. alleg. I 93 „ἐν μέσῳ, φησί, τοῦ ξύλου τοῦ παραδείσου", τουτέστι κατὰ μέσον τὸν νοῦν, ὃς καὶ αὐτὸς μέσος ἐστὶν ὡσανεὶ παραδείσου τῆς ὅλης ψυχῆς. de plant. I 335 λέγουσι γὰρ ἐν τῷ παραδείσῳ φυτὰ εἶναι μηδὲν ἐοικότα τοῖς παρ᾽ ἡμῖν, ἀλλὰ ζωῆς, ἀθανασίας, εἰδήσεως, καταλήψεως, συνέσεως, καλοῦ καὶ πονηροῦ φαντασίας· ταῦτα δὲ χέρσου μὲν οὐκ ἂν εἴη, λογικῆς δὲ ψυχῆς ἀναγκαίως φυτά. 8 Quaest. in Gen. I § 10 verum tamen optimi viri lignum vitae dixerunt in homine optimam virtutum pietatem, qua sola potius mens immortalitatem assequitur.

μέλλει καὶ ὑπερτίθεται πάγκαλον ὀφθῆναι καὶ ἥδιστον ἀπολαυσθῆναι καρπὸν δρέπεσθαι, πρὸς δὲ καὶ ὠφελιμώτατον ᾧ δυνήσεται γνωρίζειν ἀγαθά τε καὶ κακά· τὴν δ' ἀνεξετάστως ἀπὸ γνώμης ἀβεβαίου καὶ
p. 38 M. ἀνιδρύτου συναινέσασαν ἐμφαγεῖν | τοῦ καρποῦ καὶ τῷ ἀνδρὶ μεταδοῦναι — καὶ τοῦτ' ἐξαπιναίως ἀμφοτέρους ἐξ ἀκακίας καὶ ἁπλότητος ἠθῶν εἰς πανουργίαν μετέβαλεν —, ἐφ' ᾧ τὸν πατέρα χαλεπήναντα — ἡ γὰρ πρᾶξις ὀργῆς ἀξία, ἐπεὶ παρελθόντες τὸ ζωῆς ἀθανάτου φυτόν, τὴν ἀρετῆς παντέλειαν, ὑφ' ἧς μακραίωνα καὶ εὐδαίμονα βίον ἐδύναντο καρποῦσθαι, τὸν ἐφήμερον καὶ θνητὸν οὐ βίον ἀλλὰ χρόνον κακοδαιμονίας μεστὸν εἵλοντο — κολάσεις ὁρίσαι κατ' αὐτῶν τὰς προσηκούσας.

56. Ἔστι δὲ ταῦτα οὐ μύθου πλάσματα, οἷς τὸ ποιητικὸν καὶ σοφιστικὸν χαίρει γένος, ἀλλὰ δείγματα τύπων ἐπ' ἀλληγορίαν παρακαλοῦντα κατὰ τὰς δι' ὑπονοιῶν ἀποδόσεις. ἑπόμενος δέ τις εἰκότι στοχασμῷ φήσει προσηκόντως τὸν εἰρημένον ὄφιν ἡδονῆς εἶναι σύμβολον, ὅτι πρῶτον μὲν ἄπουν ἐστὶ καὶ πρηνὲς πεπτωκὸς ἐπὶ γαστέρα, δεύτερον δ' ὅτι γῆς βώλοις σιτίῳ χρῆται, τρίτον δ' ὅτι τὸν ἰὸν ἐπιφέρεται τοῖς ὀδοῦσιν, ᾧ τοὺς δηχθέντας ἀναιρεῖν πέφυκεν. οὐδενὸς δὲ τῶν λεχθέντων ὁ φιλήδονος ἀμοιρεῖ· μόλις τε γὰρ τὴν κεφαλὴν ἐπαίρει, βαρυνόμενος καὶ καθελκόμενος, ἐκτραχηλιζούσης

1 πάγκαλον] πᾶν καλὸν *M* ἀπολαυθῆναι *M* 2 verba πρὸς δὲ καὶ ὠφελιμώτατον om. *F* 3 ἀγαθά τε καὶ κακά *b* : ἀγαθά τε αὖ καὶ κακά *MFD*, ἀγαθά τε καὶ αὖ κακά *ABC* δ' om. *D* 4 ἔργου post ἀνιδρύτου add. *M* συναινέσαιεν φαγεῖν *M* 5 καὶ τοῦτ'] κἄπειτα *M* ἐξαπιναίους *M*[h] 6 μετέβαλεν] μεταβαλεῖν coni. Markland 7 ἡ] ἦν coni. Markland ἐπεὶ] εἰ *M* τὸ τῆς ζωῆς *F* 8 φυτὸν ἀθανάτου *a* 9 ἐφήμερον] ὑφ' ἥμερον *D* 12 μύθου πλάσματα *M* : πλάσμα μύθου *F*, πλάσματα μύθου *b*, πλάσματα μύθων *a* 13 καὶ σοφιστικὸν om. *D* δείγματα] τρόπον Mang. *ex Ms. Vat.* (?) τύπων] τρόπων *M* 14 παρακαλοῦντα *MFa* : καλοῦντα *b* (καλούντων Turn.) κατὰ] καὶ *M* 15 φησὶ *M* 16 ἄπουν *a* : ἄπους *b*, ζῷον ἄπουν *M* καὶ accessit ex *M*, om. *ceteri* πρηνὲς πεπτωκὸς *a* : πρηνὲς πεπτωκὼς *MF*, πρηνὴς πεπτωκὼς *b* 17 verba γῆς — ὅτι om. *F* χρῆται] κέχρηται *a* δ' om. *D* 19 μόγις *M* 20 ἐπαίρει] ἐπιφέρει *M*

15 de agric. I 315 τὸν μὲν οὖν τῆς γυναικὸς ὄφιν, αἰσθήσεως καὶ σαρκῶν ἐκκρεμαμένης ζωῆς, ἡδονὴν εἶναί φαμεν, ἰλυσπωμένην καὶ πολυπλοκωτάτην, ἀνεγερθῆναι μὴ δυναμένην, ἀεὶ καταβεβλημένην, ἐπὶ μόνα τὰ γῆς ἕρπουσαν ἀγαθά, καταδύσεις τὰς ἐν τῷ σώματι ζητοῦσαν, ὥσπερ ὀρύγμασιν ἢ χάσμασιν ἑκάστῃ τῶν αἰσθήσεων ἐμφωλεύουσαν, σύμβουλον (ἐπίβουλον ?) ἀνθρώπου, φονῶσαν κατὰ τοῦ κρείττονος, ἰοβόλοις καὶ ἀνωδύνοις γλιχομένην δήγμασιν ἀποκτεῖναι.

ιαὶ ὑποσκελιζούσης τῆς ἀκρασίας· σιτεῖται τ' οὐκ οὐράνιον τροφήν, ἣν ὀρέγει τοῖς φιλοθεάμοσι διὰ λόγων καὶ δογμάτων σοφία, τὴν δ' ἰναδιδομένην ἐκ γῆς κατὰ τὰς ἐτησίους ὥρας, ἐξ ἧς οἰνοφλυγίαι ιαὶ ὀψοφαγίαι καὶ λαιμαργίαι, ⟨αἳ⟩ τὰς γαστρὸς ἐπιθυμίας τροσαναρρηγνῦσαι καὶ ἀναρριπίζουσαι καὶ ἀνδραποδίζουσαι πρὸς γαστριμαργίαν συναύξουσι καὶ ἀναρρηγνύουσι καὶ τοὺς ὑπογαστρίους ιἴστρους· σιτοπόνων τε γὰρ καὶ ὀψαρτυτῶν κάματον ἐπιλιχνεύει καὶ τῆς ἀπὸ τῶν ἡδυσμάτων κνίσσης ἐν κύκλῳ τὴν κεφαλὴν περιάγων μεταλαμβάνειν τῆς εἰδεχθείας ὀρέγεται, καὶ ὁπότε πολυτελῆ τράπεζαν θεάσαιτο, καταβαλὼν αὑτὸν ὅλον ἐπὶ τὰ εὐτρεπισθέντα ἐκχεῖται, πάντων ἀθρόον σπουδάζων ἐμφορεῖσθαι, τέλος οὐ κόρον ἀλλὰ τὸ μηδὲν ὑπολείπεσθαι τῶν εὐτρεπισθέντων ποιούμενος. ὅθεν οὐχ ἧττον ὄφεως ἐν τοῖς ὀδοῦσιν ἐπιφέρεται τὸν ἰόν· οὗτοι γάρ εἰσιν ἀπληστίας ὑπηρέται καὶ ὑπουργοί, πάνθ' ὅσα πρὸς ἐδωδὴν τέμνοντές τε καὶ λεαίνοντες καὶ τὸ μὲν πρῶτον γλώττῃ παραδιδόντες τῇ χυλοὺς δικαζούσῃ πρὸς ἐπίκρισιν, ἔπειτα δὲ φάρυγγι· | σιτίων p. 39 M. δ' ἀμετρία θανατῶδες φύσει καὶ ἰοβόλον, ἅτε πέψιν οὐκ ἐνδεχομένων διὰ τὴν τῶν ἐπεισιόντων φοράν, ἣ γίνεται πρὶν ἐξικμασθῆναι τὰ πρότερα.

57. Φωνὴν δ' ἀνθρώπειον ὄφις λέγεται προΐεσθαι, διότι μυρίοις

---

1 τῆς om. *M*   δ' οὐκ *MD*   2 καὶ διὰ λόγων *ABC*   καὶ διὰ δογμάτων *D*   4 αἳ add. Creuzer   4—7 τὰς γαστρὸς ἐπιθυμίας συναύξουσι πρὸς γαστριμαργίαν· ἀναρρηγνύσαι (sic) καὶ ἀνδραποδίζουσαι τὰς γαστριμαργίας καὶ τοὺς ὑπογαστρίους οἴστρους *M*   5 προσαναρρηγνῦσαι] ἀναρρηγνύουσαι coni. Creuzer.   ἀναρριπίζουσαι Mangey : ἀναρριπτοῦσαι *codd.*   6 συναύξουσαι *a*   ἀναρρηγνύουσαι *a*; προσαναρρηγνύουσι coni. Creuzer   καὶ ante τοὺς om. *a*   7 ἐπιλιχνεύει *M* : περιλιχνεύουσι *ceteri*   8 τῆς *MACb* : τις (sed ι in ras.) *B* (Mang.), τὰς *D*   κνίσης *b*   9 μεταλαμβάνειν τῆς εἰδεχθείας ὀρέγεται *ab* : μεταλαμβάνει καὶ μετέχει τῆς εἰδεχθείας· ὀρέγεται δὲ *M*; ἤδη τῆς θέας (pro τῆς εἰδεχθείας) Mang. (Christoph.)   10 καταβαλὼν *M* : ἐπιβαλὼν *ceteri*   αὑτὸν] αὐτὸν *MDIL*   11 ἐγχεῖται *M*   πάντων ἀθρόον σπουδάζων] πάντα ἄνθρωπον σπεύδων *M*; ἀθρόων coni. Markland   τέλος οὐ κόρον ἀλλὰ *M* : τέλος οὐχ ὅρον ἄλλο (ἄλλον *I*) ἢ *b*, τέλος οὐκ ἄλλο ἢ *a*   13 ἐν τοῖς ὀδοῦσιν *M* : αὐτοῖς ὀδοῦσιν *FHKLa*, αὐτῆς ὀδοῦσιν *I*   14 ἐδωδὴν] ἡδονὴν *Fa*   15 πρῶτον γλώττῃ] γλώττῃ πρότερον *M*   τῇ] τοὺς *M*   16 χιλοὺς *BDb*   δικαζούσῃ] διχάζουσι *M*   17 δ' om. *a*   θανατώδη φύσιν *M*   ἐνδεχόμενον *M*   18 ἐπεισιόντων] ἐπισιτίων *M*   φοράν *MFa* : ἐπιφοράν *b*   ἣ om. *M*, ἢ *D*   19 τὰ πρότερα *M* : καὶ τὰ πρότερα *ceteri*   20 ἀνθρωπίνην *a*   προΐεσθαι *Ma* : προέσθαι *b*

ὑπερμάχοις καὶ προαγωνισταῖς ἡδονὴ χρῆται τὴν ἐπιμέλειαν καὶ προστασίαν αὐτῆς ἀνειληφόσιν, οἳ τολμῶσιν ἀναδιδάσκειν ὅτι πάντων τὸ κράτος ἀνῆπται μικρῶν τε καὶ μεγάλων οὐδενὸς ὑπεξῃρημένου τὸ παράπαν. ἀλλ' αἵ τε πρῶται τοῦ ἄρρενος πρὸς τὸ θῆλυ σύνοδοι ξεναγὸν ἔχουσιν ἡδονήν, αἵ τε σποραὶ καὶ γενέσεις διὰ ταύτης συνίστανται, τά τε γενόμενα οὐδενὶ πρῶτον οἰκειοῦσθαι πέφυκεν ἢ ταύτῃ, χαίροντα μὲν ἡδονῇ, τὴν δ' ἐναντίαν ἀλγηδόνα δυσχεραίνοντα· παρ' ὃ καὶ ἀνακλαίεται τὸ βρέφος ἀποκυηθέν, ἀλγῆσαν ὡς ἔοικε τῇ περιψύξει· ἐκ γὰρ θερμοτάτου καὶ πυρωδεστάτου χωρίου τοῦ κατὰ τὴν μήτραν, ᾧ πολὺν χρόνον ἐνδιῃτήθη, προελθὸν ἐξαπιναίως εἰς ἀέρα, ψυχρὸν καὶ ἀσυνήθη τόπον, ἐπλήχθη καὶ τῆς ὀδύνης καὶ τοῦ δυσχεραίνειν ἀλγηδόνι τὰ κλαύματα δεῖγμα παρέσχεν ἐναργέστατον· σπεύδει τε, φασί, πᾶν ζῷον ὡς ἐπ' ἀναγκαιότατον καὶ συνεκτικώτατον τέλος ἡδονὴν καὶ μάλιστ' ἄνθρωπος· τὰ μὲν γὰρ διὰ γεύσεως μόνον καὶ τῶν γεννητικῶν ἐφίεται ταύτης, ὁ δ' ἄνθρωπος καὶ διὰ τῶν ἄλλων αἰσθήσεων, ὅσα θεάματα ἢ ἀκούσματα τέρψιν δύναται παρασχεῖν ὠσὶ καὶ ὀφθαλμοῖς μεταδιώκων.

58. Λέγεται δὲ καὶ ἄλλα παμπληθῆ πρὸς ἔπαινον τοῦ πάθους καὶ ὡς ἔστιν οἰκειότατον καὶ συγγενέστατον ζῴοις· ἀπόχρη δὲ δείγματος ἕνεκα καὶ τὰ νῦν εἰρημένα, ὧν χάριν ἀνθρωπίνην φωνὴν ἔδοξεν ὁ ὄφις προΐεσθαι. διό μοι δοκεῖ κἂν τοῖς κατὰ μέρος νόμοις,

---

1 προαγωνιστῇ *I*, ἀγωνισταῖς *a* ἡδονὴν *D*, ἡδονὴ om. *F* χρῆται] κέχρηται *a* ἐπιμέλειαν καὶ προστασίαν *M*: καὶ προστασίαν om. *ceteri* 2 αὐτῆς] αὐτοῖς *M* 2/3 πάντων τὸ κράτος *M*: τὸ πάντων κράτος *ceteri* 4 verba παράπαν — ἄρρενος om. *M* 4/5 σύνοδοι ξεναγὸν ἔχουσιν ἡδονήν *b*: συνέχουσιν ἡδονὴν σύνοδοι *a*; συνόδοις ξένιον ἐχούσαις ἡδονὴν αἰτίαν, σποραῖς καὶ γενέσεσι· διὰ ταύτην συνίστανται τὰ γενόμενα κτλ. *M* 6 γενόμενα] γεννώμενα *Fa* οὐδενὶ] οὐδὲν *M* πρῶτον *codd.* (etiam *M*), πρότερον coni. Markland πέφυκεν] πεφυκότα *M* 8 παρ' ὃ] καθὸ *M*, παρὸ *ceteri* ἀνακλαίεται *MFa*: ἀποκλαίεται *b* ἀλγῆσαν κτλ.] ἀλγήμασιν ὡς εἰκὸς τοῖς περὶ ψύξιν *M* 9 χωρίου *M* τοῦ om. *BD* 10 τὴν μήτραν *MFa*: τὴν om. *b* ᾧ] οὗ *M* ἐδιητήθη *D* προελθὼν *FH*, προελθεῖν *D* ἐξαπιναίως om. *BD* 12 κλαύσματα *M* παρέσχεν] παρέχει Mang. 13 σπεύδει τε *M*: σπεύδει τε γάρ *ceteri* φασί *MFa*: φησί *b*; φύσει coni. Creuzer 14 ἡδονῇ *b* 15 ὁ δ' ἄνθρωπος *codd.*: ὁ δ' om. *edd.* 16 θεατὰ ἢ ἀκουστὰ *M* 17 δύνανται *M* μεταδιώκων] μεταδιώκει coni. Markland 18 καὶ om. *a* ἄλλα] ἅμα *M* παμπληθῆ (παμπληθεὶ *M*) πρὸς ἔπαινον τοῦ πάθους *MFa*: πρὸς ἔπαινον τοῦ πάθους παμπληθῆ *b* 19 συγγενέστατον] δικαιότατον *BD* 20 νῦν om. *I* 21 ὁ om. *F*

οὓς περὶ ζῴων ἀνέγραψεν, ἅ τε χρὴ προσφέρεσθαι καὶ τοὐναντίον, ἐπαινέσαι μάλιστα τὸν ὀφιομάχην ἐπικαλούμενον — ἑρπετὸν δ' ἐστὶν ἔχον ἀνωτέρω σκέλη τῶν ποδῶν, οἷς ἀπὸ γῆς πέφυκε πηδᾶν καὶ μετέωρον αἴρεσθαι καθάπερ τὸ τῶν ἀκρίδων γένος —· ὁ γὰρ ὀφιομάχης οὐδὲν ἄλλ' ἢ συμβολικῶς ἐγκράτεια εἶναί μοι δοκεῖ, μάχην ἀκαθαίρετον καὶ πόλεμον ἄσπονδον ἐκφέρουσα πρὸς ἀκρασίαν καὶ ἡδονήν· ἡ μὲν γὰρ εὐτέλειαν καὶ ὀλιγοδεΐαν καὶ ὅσον ἀναγκαῖον φιλαυστήρῳ καὶ σεμνῷ βίῳ διαφερόντως ἀσπάζεται, ἡ δὲ περιεργίαν καὶ πολυτέλειαν, ἃ χλιδῆς καὶ θρύψεως αἴτια γίνεται ψυχῇ καὶ σώματι, δι' ὧν τὴν ὑπαίτιον καὶ θανάτου χαλεπωτέραν ζωὴν παρὰ τοῖς εὔφρονοῦσι συμβέβηκε γίνεσθαι.

59. Τὰς δὲ γοητείας καὶ ἀπάτας αὐτῆς ἡδονὴ τῷ μὲν ἀνδρὶ οὐ τολμᾷ προσφέρειν, τῇ δὲ γυναικὶ καὶ | διὰ ταύτης ἐκείνῳ, πάνυ προσφυῶς καὶ εὐθυβόλως· ἐν ἡμῖν γὰρ ἀνδρὸς μὲν ἔχει λόγον p. 40 M.

1 οὓς append. Turn.: οὗ *ab*, οὐ *M* ἀνέγραψεν *M*: ἔγραψεν *ceteri* καὶ τοὐναντίον *b*: καὶ ἃ τοὐναντίον *a*, ἢ τοὐναντίον *F*, καὶ μὴ *M*; v. sup. p. 1,7 2 ἐπαινεῖν *M* ὀφιομάχην] ὄφιν μάχην *M* 3 δ' om. *M* 4/5 ἡ (corr. ex ὁ) γὰρ ὄφεως μάχη *M* 5 ἄλλ' ἢ *MF*: ἀλλ' ἢ *b*, ἄλλο ἢ *a* 7 ὀλιγοδεΐαν *Mb*: ὀλιγοδείαν *ABD*, ἀλγοδείαν *C* 7/8 ἀναγκαῖον ἃ δὴ φιλαυστήρῳ *M*, ἀναγκαῖον ὃ δὴ (τῷ add. *F*) φιλαυστήρῳ *Fb*, ἀναγκαῖον ὑποτίθεται, ὃ δὴ φιλαυστήρῳ *a*: corr. Turnebus 8 περιεργίαν *M*: πολυεργίαν *ceteri* 9 ἃ om. *M* αἰτία *M* ψυχῇ καὶ σώματι *Mb*: τῇ ψυχῇ τε καὶ τῷ σώματι *a* 12 αὐτῆς (corr. ex αὐτῆς) *H*: αὐτῆς *ceteri* ἡδονὴ *M*: ἡ ἡδονὴ *ceteri* τῷ] τῶν *D*

1 Leg. alleg. I 85 παραινεῖ μέντοι ὁ ἱερὸς λόγος ἐν Λευιτικῷ, „ἀπὸ τῶν ἑρπετῶν ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς, σιτεῖσθαι"· ὧν ἐστιν ὁ βροῦχος καὶ ὁ ἄττακος καὶ ἡ ἀκρὶς καὶ τέταρτον ὁ ὀφιομάχης· καὶ δεόντως· εἰ γὰρ ἄτροφον καὶ βλαβερὸν πρᾶγμα ὀφιώδης ἡδονή, τροφιμώτατον ἂν καὶ σωτήριον γένοιτο ἡ πρὸς ἡδονὴν διαμαχομένη φύσις· αὕτη δὲ ἡ σωφροσύνη ἐστί. de concup. II 354 sq. οἷς δὲ τῶν ἑρπετῶν ὑπεράνω σκέλη τῶν ποδῶν ἐστιν, ὥστε πηδᾶν ἀπὸ τῆς γῆς δύνασθαι, ταῦτα ἐν καθαροῖς ἀναγράφει, καθάπερ τὰ τῶν ἀκρίδων γένη καὶ τὸν ὀφιομάχον καλούμενον, πάλιν διὰ συμβόλων ἤθη καὶ τρόπους λογικῆς ψυχῆς διερευνώμενος. 12 sqq. Quaest. in Gen. I § 47 primum decepit serpens, secundo peccavit per eum mulier permittens se seductioni, tertio vir locum dans mulieris voluntati potius quam divino mandato. verum optime habet et rationem allegoriae hic ordo, quoniam serpens symbolum est cupiditatis, ut probatur, et mulier sensus, vir autem intellectus. fit ergo peccati auctor pessimus cupiditas et ista primum decipit sensum, sensus autem mentem captivat. Leg. alleg. I 73 . . . οἰκειότατον καὶ εὐθυβολώτατόν ἐστιν ὄνομα αἰσθήσεως γυνή· ὥσπερ γὰρ ὁ μὲν ἀνὴρ ἐν τῷ δρᾶσαι θεωρεῖται, ἐν δὲ τῷ πάσχειν ἡ γυνή, οὕτως ἐν μὲν τῷ δρᾶν ὁ νοῦς, ἐν δὲ τῷ πάσχειν γυναικὸς τρόπον ἡ αἴσθησις

ὁ νοῦς, γυναικὸς δ' αἴσθησις· ἡδονὴ δὲ προτέραις ἐντυγχάνει καὶ ἐνομιλεῖ ταῖς αἰσθήσεσι, δι' ὧν καὶ τὸν ἡγεμόνα νοῦν φενακίζει· ἐπειδὰν γὰρ ἑκάστη τῶν αἰσθήσεων τοῖς φίλτροις αὐτῆς ὑπαχθῇ, χαίρουσαι τοῖς προτεινομένοις, ἐπὶ χρωμάτων μὲν καὶ σχημάτων ποικιλίαις ὄψις, ἐπὶ δὲ φωνῶν ἐμμελείαις ἀκοή, ἐν δὲ χυλῶν ἡδύτησι γεῦσις, κἀν ταῖς τῶν ἀναθυμιωμένων ἀτμῶν εὐωδίαις ὄσφρησις, δεξάμεναι τὰ δῶρα θεραπαινίδων τρόπον προσφέρουσιν οἷα δεσπότῃ τῷ λογισμῷ, παράκλητον ἐπαγόμεναι πειθὼ περὶ τοῦ μηδὲν ἀπώσασθαι τὸ παράπαν· ὁ δ' αὐτίκα δελεασθεὶς ὑπήκοος ἀνθ' ἡγεμόνος καὶ δοῦλος ἀντὶ δεσπότου καὶ ἀντὶ πολίτου φυγὰς καὶ θνητὸς ἀντ' ἀθανάτου γίνεται. συνόλως γὰρ οὐκ ἀγνοητέον ὅτι οἷα ἑταιρὶς καὶ μάχλος οὖσα ἡδονὴ γλίχεται τυχεῖν ἐραστοῦ καὶ μαστροποὺς ἀναζητεῖ, δι' ὧν τοῦτον ἀγκιστρεύσεται· μαστροπεύουσι δ' αὐτῇ καὶ προξενοῦσι τὸν ἔρωτα αἰσθήσεις, ἃς δελεάσασα ῥᾳδίως ὑπηγάγετο τὸν νοῦν, ᾧ τὰ φανέντα ἐκτὸς εἴσω κομίζουσαι διαγγέλλουσι καὶ ἐπιδείκνυνται, τοὺς τύπους ἑκάστων ἐνσφραγιζόμεναι καὶ τὸ ὅμοιον ἐνεργαζόμεναι πάθος· κηρῷ γὰρ ἐοικὼς δέχεται τὰς διὰ τῶν αἰσθή-

1 ἡ αἴσθησις *a* 3 ἑκάστην *M*[h] 4 χαίρουσαι Markland: χαίρουσα *codd.* ἐπὶ] ἐν *M* καὶ σχημάτων ποικιλίαις] καὶ ποικιλίαις χρωμάτων *AC*, καὶ ποικιλίαις σωμάτων *BD* 5 ὄψις in textu om., in marg. man. 2 add. *ABC* (οἶμαι, λείπει ὄψις *C*[2]), ὅρασις *D*; verba ὄψις — ἐμμελείαις om. *F* ἐπὶ] ἐν *M* ἐν χυλῶν δὲ *a* χιλῶν *BDb* ἡδύτησι om. *M* 6 ἡ γεῦσις *M* κἀν ταῖς τῶν ἀναθυμιωμένων ἀτμῶν εὐωδίαις scripsi: καὶ ταῖς τῶν ἀνατεθυμιωμένων ἀτμῶν εὐωδίαις *M*, κἀκ τῆς τῶν ἀναθυμιωμένων (ἀναθυομένων *C* in textu, ἀναθυμιωμένων *C*[2] in marg.) ἀτμῶν (om. *F*) εὐωδίας *Fa*, κἀκ τῆς τῶν ἀναδιδομένων ἀτμῶν εὐωδίας *b* αἳ δεξάμεναι *M* 7 θεραπαινίδος *BD* τὸν τρόπον *M* 9 δελεασθεὶς] δικαστὴς (sic) *M* 12 ἡ ἡδονὴ *M Palat. 129* γλίχεται τοῦ ἐραστοῦ τυχεῖν *Pal.* 13 τοῦτον] καὶ τοῦτον *F*; τὸν νοῦν coni. Markland ἀγκιστρεύεται *ABC Pal.* αὐτῇ] αὐτῆς *M* 14 αἱ αἰσθήσεις *Pal.* ἃς] αἷς *a* ὑπήγαγε *a* 15 ἐκτὸς om. *Pal.* κομίζουσι *D* 16 ἑκάστων] ἐκ πάντων *M* σφραγιζόμεναι *M* 16/17 καὶ τὸ ὅμοιον ἐνεργαζόμεναι πάθος *Pal.*, καὶ τὸ ὅμοιον ἐναυγαζόμεναι πάθος *M*: καὶ et ἐνεργαζόμεναι om. *ceteri* 17 ἐοικὸς *M*

ἐξετάζεται. μαθεῖν δ' ἐκ τῆς ἐνεργείας ῥᾴδιον· ἡ ὄψις πάσχει ὑπὸ τῶν κινούντων αὐτὴν ὁρατῶν, τοῦ λευκοῦ, τοῦ μέλανος, τῶν ἄλλων· ἡ ἀκοὴ πάλιν ὑπὸ τῶν φωνῶν καὶ ἡ γεῦσις ὑπὸ τῶν χυλῶν διατίθεται, ὑπὸ τῶν ἀτμῶν ἡ ὄσφρησις, ὑπὸ τραχέος καὶ μαλακοῦ ἡ ἁφή· καὶ ἠρεμοῦσί γ' αἱ αἰσθήσεις ἅπασαι, μέχρις ἂν προσέλθῃ ἑκάστῃ τὸ κινῆσον ἔξωθεν. 15 sqq. Leg. alleg. I 55 τὸ ἡγεμονικὸν ἡμῶν πανδεχές ἐστι καὶ ἔοικε κηρῷ πάντας τοὺς τύπους καλούς τε καὶ αἰσχροὺς δεχομένῳ. quod deus immut. I 278 αἴσθησις μὲν οὖν . . . τὰ φανέντα ἐπεισφέρει

σεων φαντασίας, αἷς τὰ σώματα καταλαμβάνει δι' αὐτοῦ μὴ δυνάμενος, καθάπερ ἤδη εἶπον.

60. Τὰ δ' ἐπίχειρα τῆς ἡδονῆς εὐθὺς ἤραντο οἱ πρῶτοι γενόμενοι δοῦλοι χαλεποῦ καὶ δυσιάτου πάθους· ἡ μὲν γυνὴ σφοδρὰς ἀνίας ἐνδεξαμένη τὰς ἐν ὠδῖσι καὶ τὰς παρὰ τὸν ἄλλον βίον λύπας ἐπαλλήλους καὶ μάλιστα τὰς ἐπὶ τέκνοις γεννωμένοις καὶ τρεφομένοις καὶ νοσοῦσι καὶ ὑγιαίνουσι καὶ εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, εἶτ' ἀφαίρεσιν ἐλευθερίας καὶ τὴν ἀπὸ τοῦ συνόντος ἀνδρὸς δεσποτείαν, οὗ τοῖς ἐπιτάγμασι πειθαρχεῖν ἀναγκαῖον· ὁ δ' ἀνὴρ ἐν μέρει πόνους καὶ ταλαιπωρίας καὶ συνεχεῖς ἱδρῶτας ἕνεκα πορισμοῦ τῶν ἀναγκαίων καὶ στέρησιν μὲν τῶν αὐτομάτων ἀγαθῶν, ἅπερ ἐδιδάχθη φέρειν ἡ γῆ δίχα γεωργικῆς ἐπιστήμης, ἀτρύτων δὲ μετουσίαν καμάτων εἰς ζήτησιν βίου καὶ τροφῆς ὑπὲρ τοῦ μὴ λιμῷ παραπολέσθαι· οἶμαι γὰρ ἂν ὥσπερ ἥλιον καὶ σελήνην ἀεὶ φωσφορεῖν ἅπαξ κελευσθέντας ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς καὶ τὸ θεῖον πρόσταγμα διατηρεῖν οὐδενὸς ἑτέρου χάριν ἢ ὅτι | τῶν ὅρων οὐρανοῦ p. 41 M.
μακρὰν κακία πεφυγάδευται, τὸν αὐτὸν τρόπον καὶ τῆς γῆς τὴν βαθεῖαν καὶ καρποφόρον ἄνευ τέχνης καὶ συμπράξεως γεωπόνων ἀνδρῶν φέρειν ἂν πολλὴν ἀφθονίαν κατὰ τὰς ἐτησίους ὥρας· νυνὶ δ' αἱ ἀέναοι πηγαὶ τῶν τοῦ θεοῦ χαρίτων ἐπεσχέθησαν, ὅτε ἤρξατο κακία τὰς ἀρετὰς παρευημερεῖν, ἵνα μὴ ὡς ἀναξίοις χορηγῶσιν.

---

1 καταλαμβάνεται *M Pal.* δι' αὐτοῦ *F*, δι' ἑαυτοῦ *Pal.*: δι' αὑτοῦ *ceteri* 2 καθάπερ εἶπον ἤδη *M* 3 τὰ δ' ἐπίχειρα] τὰ δὲ παῦρα *M* ἤραντο] εὕραντο *M* πρῶτοι *M*: πρότερον *ceteri* 4 σφοδρὰς] σφόδρα *M* 5 δεξαμένη *M* 5/6 λύπας ἐπαλλήλους *M*: ἐπαλλήλους λύπας *ceteri* 6 γεννωμένοις] γεινομένοις *M* 7 εἶτ' *M*: εἰς *ceteri* 8 συνόντως *A* 9 οὗ] οὐ *I* 12 φέρειν — ἐπιστήμης] ἔχειν ἀπὸ τοῦ θεοῦ ἐπιστήμης λογικῆς *M* δὲ] δέ τε *M* μετουσίας *M* 13 τροφῆς] τρυφῆς *ABC* ὑπὲρ] ὧς *C* μὴ om. *BCD*, superscr. man. 2 in *A* 14 οἶμαι] οἱ μὲν *M* ἂν om. *a* 17 κακίαν *MI* πεφυγαδεῦσθαι *M* 18 καὶ post βαθεῖαν om. *F* καρποφόρον φορὰν *F* 20 δ' αἱ ἀέναοι *C*, δ' αἱ ἀένναοι *AB Pal.*, δ' αἰένναοι *D*: δὲ καὶ ἀένναοι *M*, δ' ἀένναοι *b* πηγαὶ om. *F* τοῦ θεοῦ] θείων *D* ἐπεσχέθησαν] ἀπεσχίσθησαν *M* 21 τὰς ἀρετὰς om. *M* ὡς ἀναξίοις] ἀναξίως *M*

τῷ νῷ· τούτῳ γάρ, ἐπειδὴ μέγιστόν ἐστι ταμιεῖον καὶ πανδεχές, πάνθ' ὅσα δι' ὁράσεως καὶ ἀκοῆς καὶ τῶν ἄλλων αἰσθητικῶν ὀργάνων, ἐντίθεται καὶ ἐναποθησαυρίζεται. φαντασία δ' ἐστὶ τύπωσις ἐν ψυχῇ· ἃ γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥσπερ δακτύλιός τις ἢ σφραγίς, ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα· κηρῷ δ' ἐοικὼς ὁ νοῦς τὸ ἐκμαγεῖον δεξάμενος ἄκρως παρ' ἑαυτῷ φυλάττει, μέχρις ἂν τὸν τύπον λεάνασα λήθη ἡ ἀντίπαλος μνήμης ἢ ἀμυδρὸν ἐργάσηται ἢ παντελῶς ἀφανίσῃ.

ἔδει μὲν οὖν τὸ τῶν ἀνθρώπων γένος, εἰ τὴν ἁρμόττουσαν ἔμελλε δίκην ὑπομένειν, ἠφανίσθαι διὰ τὴν πρὸς τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν ἀχαριστίαν· ὁ δ᾽ ἅτε τὴν φύσιν ἵλεως οἶκτον λαβὼν ἐμετρίασε τὴν τιμωρίαν, τὸ μὲν γένος ἐάσας διαμένειν, τὰς δὲ τροφὰς οὐκέθ᾽ ὁμοίως ἐξ ἑτοίμου παρασχών, ἵνα μὴ δυσὶ κακοῖς ἀργίᾳ καὶ κόρῳ χρώμενοι πλημμελῶσι καὶ ὑβρίζωσι.

61. Τοιοῦτος μὲν ὁ βίος τῶν ἐν ἀρχῇ μὲν ἀκακίᾳ καὶ ἁπλότητι χρωμένων, αὖθις δὲ κακίαν ἀντ᾽ ἀρετῆς προτιμώντων [ὧν ἄξιον ἀπέχεσθαι]. διὰ δὲ τῆς λεχθείσης κοσμοποιίας πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἀναδιδάσκει, πέντε δὲ τὰ κάλλιστα καὶ πάντων ἄριστα· πρῶτον μὲν ὅτι ἔστι τὸ θεῖον καὶ ὑπάρχει, διὰ τοὺς ἀθέους, ὧν οἱ μὲν ἐνεδοίασαν ἐπαμφοτερίσαντες περὶ τῆς ὑπάρξεως αὐτοῦ, οἱ δὲ τολμηρότεροι καὶ κατεθρασύναντο φάμενοι μηδ᾽ ὅλως εἶναι, λέγεσθαι δ᾽ αὐτὸ μόνον πρὸς ἀνθρώπων πλάσμασι μυθικοῖς ἐπισκιασάντων τὴν ἀλήθειαν· δεύτερον δ᾽ ὅτι θεὸς εἷς ἐστι, διὰ τοὺς εἰσηγητὰς τῆς πολυθέου δόξης, οἳ οὐκ ἐρυθριῶσι τὴν φαυλοτάτην τῶν κακοπολιτειῶν ὀχλοκρατίαν ἀπὸ γῆς εἰς οὐρανὸν μετοικίζοντες· τρίτον δ᾽ ὡς ἤδη λέλεκται, ὅτι γενητὸς ὁ κόσμος, διὰ τοὺς οἰομένους αὐτὸν ἀγένητον καὶ ἀΐδιον εἶναι, οἳ πλέον οὐδὲν ἀπονέμουσι θεῷ· τέταρτον δ᾽ ὅτι καὶ εἷς ἐστιν ὁ κόσμος, ἐπειδὴ καὶ εἷς ὁ δημιουργὸς ⟨ὁ⟩ ἐξομοιώσας αὐτῷ κατὰ τὴν μόνωσιν τὸ ἔργον, ὃς ἁπάσῃ κατεχρήσατο τῇ ὕλῃ εἰς τὴν τοῦ ὅλου γένεσιν· ὅλον γὰρ οὐκ ἂν ἦν, εἰ μὴ

1 τῶν ἀνθρώπων *M*: τῶν om. *ceteri* τὴν παναρμόττουσαν *M* 2 καὶ post ἠφανίσθαι add. *M* 3 θεὸν] θεοῦ Turn. ἅτε] ἀεὶ *M* 5 ἐξ ἑτοίμου παρασχών *MFa*: ἐξ ἑτοίμου om. *b*; v. sup. p. 30,8 7 μὲν prius om. *M* 8 κακίας *AB* ἀντ᾽ om. *M* ὧν ἄξιον] τῶν ἀξίων *M* verba ὧν ἄξιον ἀπέχεσθαι uncis inclusi 9 μὲν om. *M* 10 ἀναδιδάσκει Μωσῆς Mang. (Christoph.) 11 ὅτι ἔστι τὸ θεῖον καὶ ὑπάρχει *M*: ὅτι ἔστι καὶ ὑπάρχει τὸ θεῖον· *ceteri* 12 ἐνεδίασαν *D* αὐτοῦ] αὐτῶν *A* τολμηρότερον *M*[h] 13 κατεθρασύνοντο *M* μηδόλως *Ma*, μήθ᾽ ὅλως *F* 14 αὐτὸν Turn. 15 εἰσηγητὰς om. *C* 16 τὴν φαυλότητα *M* τῶν om. *D* 17 κακοπολιτειῶν Mang.: κακοπολιτῶν *codd.* (καταπολιτῶν *F*) ὀχλοκρατίαν *Fa*: ὀχλοκρασίαν *Mb* 19 πλέον *M*: πλεῖον *ceteri* 20 ὁ κόσμος *M*: ὁ γεγονὼς κόσμος *Fa*, ὁ γενητὸς κόσμος οὗτος *b* ὁ post εἷς om. *M* ὁ post δημιουργὸς addidi: ὃς add. Mang. 21 αὐτῷ *I*, αὐτῷ corr. ex αὐτῷ *MF* τὴν om. *D* μόνωσιν] ὁμοίωσιν *F* ὃς ἁπάσῃ scripsi: ὅσα πάσῃ *M*, ὃ πᾶς *F*, ὃ πάσῃ *ceteri* 22 ὕλῃ *M*: οὐσίᾳ *ceteri* εἰς *M* (corr. Turnebus): καὶ *ceteri*

22 de plant. I 330 τελειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι· τελειότατον δ᾽ οὐκ ἂν ἦν, εἰ μὴ τελείοις

ξ ὅλων ἐπάγη καὶ συνέστη τῶν μερῶν· εἰσὶ γὰρ οἱ πλείους ιπολαμβάνοντες εἶναι κόσμους, οἱ δὲ καὶ ἀπείρους, ἄπειροι καὶ ἰνεπιστήμονες αὐτοὶ πρὸς ἀλήθειαν ὄντες ὧν καλὸν ἐπιστήμην ἔχειν· ιέμπτον δ' ὅτι καὶ προνοεῖ τοῦ κόσμου ὁ θεός· ἐπιμελεῖσθαι γὰρ ἰεὶ τὸ πεποιηκὸς τοῦ γενομένου φύσεως νόμοις καὶ θεσμοῖς ἀναγκαῖον, ιαθὼς καὶ γονεῖς τέκνων | προμηθοῦνται. Ὁ δὴ ταῦτα μὴ p. 42 M. ἰκοῇ μᾶλλον ἢ διανοίᾳ προμαθὼν καὶ ἐν τῇ αὐτοῦ ψυχῇ σφραγιιάμενος θαυμάσια καὶ περιμάχητα εἴδη, ὅτι ἔστι καὶ ὑπάρχει θεὸς ιαὶ ὅτι εἷς ὁ ὢν ὄντως ἐστὶ καὶ ὅτι πεποίηκε τὸν κόσμον καὶ ιεποίηκεν ἕνα, ὡς ἐλέχθη, κατὰ τὴν μόνωσιν ἐξομοιώσας ἑαυτῷ ιαὶ ὅτι ἀεὶ προνοεῖ τοῦ γεγονότος, μακαρίαν καὶ εὐδαίμονα ζωὴν ιώσεται δόγμασιν εὐσεβείας καὶ ὁσιότητος χαραχθείς.

---

2 ὑπολαβόντες *M*, παραλαμβάνοντες Mang. εἶναι κόσμους *M*: κόσμους ἶναι *ceteri* 5 ἀεὶ om. *a* γενομένου *MFa*: πεποιημένου *b* 6 προμηοῦνται] προνοοῦνται *M* δή] δ' εἰ *M*, δὲ Mang. μὴ ταῦτα *M* 7 ἑαυτοῦ *ABC*, ὐτοῦ *b*, αὐτοῦ corr. ex αὐτοῦ *M* 8 εἴδη] εἰδὼς *D* ὅτι ἔστι scripsi: ὅτι έ ἐστι *a*, ὅτι τὲ ἔστι *b*, καὶ ὅτι ἔστι *M* 9 ὢν om. *M* 11 ἀεὶ om. *M* εὐδαίμονα] εὐσχήμονα *M* 12 ὁσιότητος *M* (coni. Markland): θειότητος *eteri*; v. sup. p. 59,14 χαραχθεὶς *Mb*: χαραχθεῖσαν *ABC*, χαραχθῆσαν *D*

υνεπληροῦτο μέρεσιν· ὥστε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος καὶ υρός, μηδενὸς ἔξω μηδὲ τοῦ βραχυτάτου καταλειφθέντος, συνέστη ὅδε ὁ κόσμος.
4 de spec. leg. II 331 ... καὶ ὡς ὁ γεννήσας πατὴρ νόμῳ φύσεως ἐπιμελεῖται οῦ γενομένου, προνοούμενος καὶ τοῦ ὅλου καὶ τῶν μερῶν.

Loci selecti
ad illustrandam Philonei libelli doctrinam idonei.

2,12: Epicur. ap. Diog. La. X 39 (Usener Epicur. p. 6,1) καὶ μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νῦν ἐστι καὶ ἀεὶ τοιοῦτον ἔσται· οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβάλλει (μεταβαλεῖ Usener). Aetius Plac. II 4,11 (Diels Doxogr. p. 332) Ξενοφάνης, Παρμενίδης, Μέλισσος ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον. Aet. Plac. II 4,1 (Diels Doxogr. p. 330) Πυθαγόρας καὶ Πλάτων καὶ οἱ Στωικοὶ γενητὸν ὑπὸ θεοῦ τὸν κόσμον.

2,17 sqq.: Aet. Plac. I 3,25 (Diels Doxogr. p. 289) Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς μὲν τὸν θεὸν καὶ τὴν ὕλην, ὧν ὁ μέν ἐστι τοῦ ποιεῖν αἴτιος, ἡ δὲ τοῦ πάσχειν, στοιχεῖα δὲ τέσσαρα. Diog. La. VII 134 δοκεῖ δ' αὐτοῖς (Stoicis) ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον· τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν· τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων μὲν ὁ Κιτιεὺς ἐν τῷ περὶ οὐσίας, Κλεάνθης δ' ἐν τῷ περὶ ἀτόμων, Χρύσιππος δ' ἐν τῇ πρώτῃ τῶν φυσικῶν πρὸς τῷ τέλει, Ἀρχέδημος δ' ἐν τῷ περὶ στοιχείων καὶ Ποσειδώνιος ἐν τῷ δευτέρῳ τοῦ φυσικοῦ λόγου. (135). . . . ἕν τε εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. Sext. adv. mathem. IX 11 οὐ μὴν ἀλλὰ καὶ οἱ ἀπὸ τῆς Στοᾶς δύο λέγοντες ἀρχάς, θεὸν καὶ ἄποιον ὕλην, τὸν μὲν θεὸν ποιεῖν ὑπειλήφασι, τὴν δὲ ὕλην πάσχειν τε καὶ τρέπεσθαι. Seneca Epist. 65,2 *dicunt ut scis Stoici nostri duo esse in rerum natura, ex quibus omnia fiant, causam et materiam: materia iacet iners, res ad omnia parata, cessatura si nemo moveat; causa autem, id est ratio, materiam format et quocunque vult versat, ex illa varia opera producit. esse ergo debet*

unde aliquid fiat, deinde a quo fiat: hoc causa est, illud materia. — Aet. Plac. I 3,8 (Diels Doxogr. p. 281) σπεύδει δὲ αὐτῷ (Pythagorae) τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ ἀΐδιον, ὅπερ ἐστὶ νοῦς ὁ θεός, ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος.

3,2: Arius Didymus ap. Euseb. Pr. Ev. XV 15,5 (Diels Doxogr. p. 464,24) κοινωνίαν δ' ὑπάρχειν (putant Stoici) πρὸς ἀλλήλους διὰ τὸ λόγου μετέχειν, ὅς ἐστι φύσει νόμος· τὰ δ' ἄλλα πάντα γεγονέναι τούτων ἕνεκα. οἷς ἀκολούθως νομιστέον προνοεῖν τῶν ἀνθρώπων τὸν τὰ ὅλα διοικοῦντα θεόν, εὐεργετικὸν ὄντα καὶ χρηστὸν καὶ φιλάνθρωπον δίκαιόν τε καὶ πάσας ἔχοντα τὰς ἀρετάς.

3,11 sqq.: Plat. Tim. 27d ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν πρῶτον διαιρετέον τάδε, τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γιγνόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε. τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. 28b ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅ τι ποτὲ ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο, τοῦθ' ἡμῖν ὠνομάσθω, — σκεπτέον δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν ἀπ' ἀρχῆς τινος ἀρξάμενος. γέγονεν· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δὲ αἰσθητὰ δόξῃ περιληπτὰ μετὰ αἰσθήσεως γιγνόμενα καὶ γενητὰ ἐφάνη. τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι.

4,1 sqq.: Theol. Arith. p. 33 Ast (ex Anatolio) ἡ ἑξὰς πρώτη (l. πρῶτος) τέλειος· τοῖς γὰρ αὐτῆς μέρεσιν ἀριθμεῖται ϛʹ, ἔχουσα τρία καὶ ἥμισυ· . . . ἐξ ἀρτίου καὶ περισσοῦ τῶν πρώτων, ἄρρενος καὶ θήλεος, δυνάμει καὶ πολλαπλασιασμῷ γίνεται. . . . μετὰ δὲ τὴν πεντάδα τὸν ϛʹ εὐθὺς ἀριθμὸν ἐναργεστέροις ἐσέμνυνον ἐγκωμίοις, ἐπιλογιζόμενοι δείγμασιν οὐκ ἀμφιβόλοις, κατ' αὐτὴν (scil. ἑξάδα) ἐνεψυχῶσθαι καὶ καθηρμόσθαι τὸν κόσμον, τυχεῖν τε ὁλότητος καὶ διαμονῆς ἐπιμελοῦς (l. ἐπιτελοῦς) τε ὑγείας καὶ τὰ ζῷα καὶ τὰ φυτά. Theon Smyrn. p. 45,10 (Hiller) καὶ τέλειοι μέν εἰσιν οἱ τοῖς αὐτῶν μέρεσιν ἴσοι, ὡς ὁ τῶν ϛʹ· μέρη γὰρ αὐτοῦ ἥμισυ γʹ, τρίτον βʹ,

ἕκτον α', ἅτινα συντιθέμενα ποιεῖ τὸν ϛ'. Alex. Aphrod. in Arist. Metaph. I 5. 985b p. 29,13 (Bonitz) ἔστι δὲ κατ' αὐτοὺς (Pythagoreos) ἄρρεν μὲν τὸ περιττόν, θῆλυ δὲ τὸ ἄρτιον· πρῶτος δὲ οὗτος (l. ὁ ἕκτος?) ἐξ ἀρτίου τοῦ δύο πρώτου καὶ πρώτου τοῦ τρία περιττοῦ τὴν γένεσιν ἔχει. Macrob. comm. in Somn. Scip. I 6,12 *Senarius vero ... variae ac multiplicis religionis et potentiae est: primum quod solus ex omnibus numeris qui intra decem sunt de suis partibus constat; habet enim medietatem et tertiam partem et sextam partem, et est medietas tria, tertia pars duo, sexta pars unum, quae omnia simul sex faciunt.*

4,18 sqq.: Plat. Tim. 28a ὅτου μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεί, τοιούτῳ τινὶ προσχρώμενος παραδείγματι, τὴν ἰδέαν καὶ δύναμιν αὐτοῦ ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· οὗ δ' ἂν εἰς τὸ γεγονός, γενητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν. 28c τόδε δ' οὖν πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς τὸ γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δὲ ὃ μηδ' εἰπεῖν τινι θέμις, πρὸς τὸ γεγονός. παντὶ δὴ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν καὶ κατὰ ταὐτὰ ἔχον δεδημιούργηται. τούτων δὲ ὑπαρχόντων αὖ πᾶσα ἀνάγκη τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι. Aet. Plac. II 6,4 (Diels Dox. p. 334) Πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι πρὸς παράδειγμα τοῦ νοητοῦ κόσμου.

6,10 sqq.: Plat. Tim. 30a βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις δ' οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο πλὴν τὸ κάλλιστον.

6,12: Sext. adv. mathem. X 312 ἐξ ἀποίου μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων ὑπεστήσαντο γένεσιν οἱ Στωικοί· ἀρχὴ γὰρ τῶν ὄντων κατ' αὐτούς ἐστιν ἡ ἄποιος ὕλη καὶ δι' ὅλων

τρεπτή, μεταβαλλούσης τε ταύτης γίνεται τὰ τέσσαρα στοιχεῖα, πῦρ καὶ ἀήρ, ὕδωρ καὶ γῆ. Arius Didym. ap. Stob. Ecl. I 11,5[c] (Diels Dox. p. 458) ἔφησε δὲ ὁ Ποσειδώνιος τὴν τῶν ὅλων οὐσίαν καὶ ὕλην ἄποιον καὶ ἄμορφον εἶναι, καθ' ὅσον οὐδὲν ἀποτεταγμένον ἴδιον ἔχει σχῆμα οὐδὲ ποιότητα καθ' αὑτήν, ἀεὶ δ' ἔν τινι σχήματι καὶ ποιότητι εἶναι.

8,1: Plat. Tim. 37 d εἰκόνα δ' ἐπενόει κινητήν τινα αἰῶνος ποιῆσαι, καὶ διακοσμῶν ἅμα οὐρανῷ ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν· ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται.

8,2: Diog. La. VII 141 ἔτι δὲ καὶ (dicunt Stoici) τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. Arius Didym. ap. Stob. Ecl. I 8,40[e] (Diels Dox. p. 461) Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει ⟨ἕκαστα⟩. Sext. Pyrrh. hypot. III 136 (cf. adv. mathem. X 170) χρόνον γὰρ εἶναί φασιν οἱ μὲν διάστημα τῆς τοῦ ὅλου κινήσεως (ὅλον δὲ λέγω τὸν κόσμον), οἱ δὲ αὐτὴν τὴν κίνησιν τοῦ κόσμου. Aet. Plac. I 21,2 (Diels Dox. p. 318) Πλάτων αἰῶνος εἰκόνα κινητήν, ἢ (? l. Ζήνων ?) διάστημα τῆς τοῦ κόσμου κινήσεως.

8,10 sq.: Aet. Plac. I 6,11 (Diels Dox. p. 296) βλέποντες δὲ τοὺς ἀστέρας ἀεὶ θέοντας αἰτίους τε τοῦ θεωρεῖν ἡμᾶς ἥλιον καὶ σελήνην θεοὺς προσηγόρευσαν (Stoici). Arius Didym. ap. Stob. Ecl. I 21,5 (Diels Dox. p. 466) de Chrysippo: ... τὸν μὲν οὖν κατὰ τὴν διακόσμησιν λεγόμενον κόσμον εἰς ταύτας διακεκρίσθαι τὰς φύσεις· τὸ δὲ περιφερόμενον αὐτῷ ἐγκυκλίως αἰθέρα εἶναι, ἐν ᾧ τὰ ἄστρα καθίδρυται, τά τε ἀπλανῆ καὶ τὰ πλανώμενα, θεῖα τὴν φύσιν ὄντα καὶ ἔμψυχα καὶ διοικούμενα κατὰ τὴν πρόνοιαν.

10,23: Diog. La. VII 135 σῶμα δ' ἐστίν, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ φυσικῇ, τὸ τριχῇ διαστατόν, εἰς μῆκος, εἰς πλάτος, εἰς βάθος· τοῦτο δὲ καὶ στερεὸν σῶμα καλεῖται. Sext. Pyrrh. hypot. III 39 τινὲς δὲ σῶμα εἶναι λέγουσι τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας. Aet. Plac. I 12,1 (Diels Dox. p. 310) σῶμά ἐστι τὸ τριχῇ διαστατόν, πλάτει βάθει μήκει.

14,19: <Plut.> ap. Stob. Ecl. 1 Prooem. 10 Πυθαγόρας πλείστῃ σπουδῇ περὶ τοὺς ἀριθμοὺς ἐχρήσατο τάς τε τῶν ζῴων γενέσεις ἀνῆγεν εἰς ἀριθμοὺς καὶ τῶν ἀστέρων τὰς περιόδους. ἔτι δὲ τοῖς θεοῖς ἀπεικάζων ἐπωνόμαζεν, ὡς Ἀπόλλωνα μὲν τὴν μονάδα οὖσαν... καὶ τὴν δεκάδα Παντέλειαν. Arist. Met. I 5. 986a 8 τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν. — Theol. Arith. p. 23 (Ast) ἐτίμων δὲ αὐτὴν (τετράδα) οἱ Πυθαγόρειοι ὡς δεκάδος γεννητικήν.

15,1: Theol. Arith. p. 44 . . . ὅτι τὰ μὲν ἀπὸ μονάδος μέχρι τετράδος δυνάμει δέκα ἐστί, ἐνεργείᾳ δὲ αὐτὸ τοῦτο ἡ δεκάς, ὁ δὲ ζ' ἀριθμητικὴ μεσότης τετράδος καὶ δεκάδος, τρόπον τινὰ δύο δεκάδων, τῆς μὲν δυνάμει, τῆς δὲ ἐνεργείᾳ, ὑποδιπλάσιος ὢν τῆς ἀμφοῖν συνθέσεως. Aet. Plac. I 3,8 (Diels Dox. p. 281) καὶ τῶν δέκα πάλιν, φησίν (Pythagoras), ἡ δύναμίς ἐστιν ἐν τοῖς τέσσαρσι καὶ τῇ τετράδι. τὸ δὲ αἴτιον· εἴ τις ἀπὸ τῆς μονάδος † ἀναποδῶν κατὰ πρόσθεσιν τιθείη τοὺς ἀριθμοὺς ἄχρι τῶν τεσσάρων προελθών, ἐκπληρώσει τὸν δέκα ἀριθμόν. . . . οἷον εἴ τις θείη ἓν καὶ δύο, προσθείη καὶ τρία καὶ τούτοις τέσσαρα, τὸν τῶν δέκα πληρώσει ἀριθμόν, ὥστε ὁ ἀριθμὸς κατὰ μὲν μονάδα (?) ἐν τοῖς δέκα, κατὰ δὲ δύναμιν ἐν τοῖς τέσσαρσι.

15,3: Theol. Arith. p. 63 (ex Anatolio) ἡ δεκὰς γεννᾶται δυνάμει ἐξ ἀρτίου καὶ περισσοῦ· πεντάκις γὰρ δύο δέκα. κύκλος ἐστὶ παντὸς ἀριθμοῦ καὶ πέρας· περὶ αὐτὸν γὰρ εἱλούμενοι καὶ ἀνακάμπτοντες ὥσπερ καμπτῆρα δολιχεύουσιν, ὅτι ὅρος ἐστὶ τῆς ἀπειρίας τῶν ἀριθμῶν. καλεῖται δὲ κράτος καὶ παντέλεια, ἐπεὶ πάντα περαίνει τὸν ἀριθμόν, περιέχουσα πᾶσαν φύσιν ἐντὸς ἑαυτῆς, ἀρτίου τε καὶ περισσοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ. ἔτι γέγονεν ἐκ τῶν πρώτων ἀριθμῶν τῆς τετρακτύος συνθέτων α' β' γ' δ'. Theon Smyrn. p. 106,7 (Hiller) ἡ μέντοι δεκὰς πάντα περαίνει τὸν ἀριθμόν, ἐμπεριέχουσα πᾶσαν φύσιν ἐντὸς αὑτῆς, ἀρτίου τε καὶ περιττοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ· περὶ ἧς καὶ Ἀρχύτας ἐν τῷ περὶ τῆς δεκάδος καὶ Φιλόλαος ἐν τῷ περὶ φύσιος πολλὰ διεξίασιν.

15,5 sqq.: Nicom. Inst. Arith. I 5,1 (ed. Hoche) . . . καὶ αἱ μουσικαὶ συμφωνίαι διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν κατὰ ἀριθμόν εἰσιν ὠνομασμέναι· ὁμοίως καὶ τοὺς ἁρμονικοὺς λόγους

ἀριθμητικοὺς πάντως ἔχουσιν, ἡ μὲν διὰ τεσσάρων ἐπίτριτον, ἡ δὲ διὰ πέντε ἡμιόλιον, ἡ δὲ διὰ πασῶν διπλάσιον, τριπλάσιον δὲ ἡ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, τετραπλάσιον δὲ ἡ τελειοτάτη ἡ δὶς διὰ πασῶν. Theol. Arith. p. 23 δοκεῖ δὲ καὶ τελεία ἁρμονία ἐν τρισὶ συμφωνίαις ὑφεστάναι, τῇ διὰ τεσσάρων, ἥτις ἐν ἐπιτρίτῳ κεῖται λόγῳ, τῇ διὰ πέντε ἐν ἡμιολίῳ, τῇ διὰ πασῶν ἐν διπλασίῳ. ὄντων δὲ ἀριθμῶν τεσσάρων τῶν πρώτων α′ β′ γ′ δ′, ἐν τούτοις καὶ ἡ τῆς ψυχῆς ἰδέα περιέχεται κατὰ τὸν ἐναρμόνιον λόγον· ὁ μὲν γὰρ δ′ τοῦ β′ καὶ ὁ β′ τοῦ πρώτου διπλασίων, ἐν ᾧ κεῖται ἡ διὰ πασῶν συμφωνία, ὁ δὲ γ′ τοῦ β′ ἡμιόλιος, περιέχων αὐτὸν καὶ τὸ ἥμισυ, ἐν ᾧ ἡ διὰ πέντε συμφωνία, ὁ δὲ δ′ τοῦ τρίτου ἐπίτριτος, ἐν ᾧ ἡ διὰ τεσσάρων συμφωνία. εἰ δὲ ἐν τῷ δ′ ἀριθμῷ τὸ πᾶν κεῖται ἐκ ψυχῆς καὶ σώματος, ἀληθὲς ἄρα καὶ ὅτι αἱ συμφωνίαι πᾶσαι κατ' αὐτὸν τελειοῦνται. Theon Smyrn. p. 58,13 (cf. p. 93,19) πάσας δὲ τὰς συμφωνίας περιέχει ἡ τετρακτύς. συνέστησε μὲν γὰρ αὐτὴν α′ καὶ β′ καὶ γ′ καὶ δ′. ἐν δὲ τούτοις τοῖς ἀριθμοῖς ἐστιν ἥ τε διὰ τεσσάρων συμφωνία καὶ ἡ διὰ πέντε καὶ ἡ διὰ πασῶν, καὶ ὁ ἐπίτριτος λόγος καὶ ἡμιόλιος καὶ διπλάσιος καὶ τριπλάσιος καὶ τετραπλάσιος.

15,15 sqq.: Theol. Arith. p. 23 πρώτη ἡ τετρὰς ἔδειξε τὴν τοῦ στερεοῦ φύσιν· σημεῖον γάρ, εἶτα γραμμή, εἶτα ἐπιφάνεια, εἶτα στερεὸν ὅ τι σῶμα. Theon Smyrn. p. 83,21 στιγμὴ δὲ οὔτε κατὰ πολλαπλασιασμὸν οὔτε κατὰ σύνθεσιν (αὔξεται), ἀλλὰ κατὰ συνέχειαν ῥυεῖσά τε καὶ ἐνεχθεῖσα γραμμὴν ἀποτελεῖ, γραμμὴ δὲ ἐπιφάνειαν, ἐπιφάνεια δὲ σῶμα. p. 111,14 τὰ δὲ αὐτὰ εὑρεθήσεται καὶ ἐπὶ σχημάτων· ὧν πρῶτόν ἐστιν ἡ στιγμή, ὅ ἐστι σημεῖον ἀμέγεθες καὶ ἀδιάστατον, γραμμῆς πέρας, οἷον μονὰς θέσιν ἔχουσα. τοῦ δὲ μεγέθους τὸ μὲν ἐφ' ἓν διαστατόν τε καὶ διαιρετὸν γραμμή, μῆκος οὖσα ἀπλατές· τὸ δ' ἐπὶ δύο ἐπίπεδον, μῆκος ἔχον καὶ πλάτος· τὸ δ' ἐπὶ τρία στερεόν, μῆκός τε καὶ πλάτος καὶ βάθος ἔχον. Sext. Pyrrh. hypot. III 154 τὸ μὲν γὰρ σημεῖον τὸν τῆς μονάδος ἐπέχειν λόγον, τὴν δὲ γραμμὴν τὸν τῆς δυάδος (δύο γὰρ σημείων μεταξὺ θεωρεῖσθαι ταύτην), τὴν δὲ ἐπιφάνειαν τὸν τῆς τριάδος (ῥύσιν γὰρ εἶναί φασι τῆς γραμμῆς εἰς πλάτος ἐπ' ἄλλο σημεῖον ἐκ πλαγίου κείμενον), τὸ δὲ σῶμα τὸν τῆς τετράδος· ἐπανάστασιν γὰρ γίγνεσθαι τῆς ἐπιφανείας ἐπί τι σημεῖον ὑπερκείμενον. adv. math. IV 4—5

καθάπερ γὰρ ἐπὶ τῶν γεωμετρικῶν ἀρχῶν ὑπεδείξαμεν πρῶτον τίς ἐστιν ἡ στιγμή, εἶτα μετ' αὐτὴν ἡ γραμμὴ μῆκος ἀπλατὲς τυγχάνουσα, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ παρόντος ἡ μὲν μονὰς τὸν τῆς στιγμῆς ἐπέχει λόγον, ἡ δὲ δυὰς τὸν τῆς γραμμῆς καὶ τοῦ μήκους· ... ἡ δὲ τριὰς ἐπὶ τοῦ πλάτους καὶ τῆς ἐπιφανείας ἐτέτακτο· ποθὲν γάρ που ἐφέρετο ὁ νοῦς καὶ προστιθεμένης τῇ κατὰ μῆκος διαστάσει τῆς κατὰ πλάτος διαστάσεως ἐπιφάνεια νοεῖται. ἀλλὰ κἂν ἐπιθεωρήσῃ τις τῇ τριάδι τετάρτην μονάδα, τουτέστι τέταρτον σημεῖον, γίνεται πυραμίς, στερεὸν σῶμα καὶ σχῆμα· καὶ γὰρ μῆκος ἔχει καὶ πλάτος καὶ βάθος· ὥστε ἐν τῷ τέσσαρα ἀριθμῷ τὸν τοῦ σώματος περιέχεσθαι λόγον. Hierocl. comm. in Aur. Carm. p. 465 (Mullach F. Ph. Gr. I) καὶ στερεοῦ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται· τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον· τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι· ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται, τριγώνου μὲν βάσεως ὑποτεθείσης τοῦ τρία, κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης τοῦ ἑνός.

16,12 sq.: Alex. Aphrod. in Arist. Met. I 5 p. 28,26 (Bonitz)... διὰ τοῦτο καὶ τὸν ἰσάκις ἴσον ἀριθμὸν πρῶτον ἔλεγον (Pythagorei) εἶναι δικαιοσύνην· τὸ γὰρ πρῶτον ἐν ἑκάστῳ τῶν τὸν αὐτὸν λόγον ἐχόντων μάλιστα εἶναι τοῦτο ὃ λέγεται. τοῦτον δὲ οἱ μὲν τὸν τέσσαρα ἔλεγον, ἐπεὶ πρῶτος ὢν τετράγωνος εἰς ἴσα διαιρεῖται καὶ ἔστιν ἴσος, δὶς γὰρ δύο. Theol. Arith. p. 23 καλεῖται δὲ αὐτή, ὥς φησιν ὁ Ἀνατόλιος, δικαιοσύνη, ἐπεὶ τὸ τετράγωνον τὸ ἀπ' αὐτῆς τουτέστι τὸ ἐμβαδὸν τῇ περιμέτρῳ ἴσον.

17,1 sqq.: Hierocl. comm. in Aur. Carm. p. 465 καὶ ἁπλῶς τὰ ὄντα πάντα ἡ τετρὰς ἀνεδήσατο, στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν· καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος ὡς ῥίζης καὶ ἀρχῆς ἤρτηται· ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ. παραδέδοται δὲ ἡ τούτου γνῶσις τοῖς Πυθαγορείοις δι' αὐτοῦ τοῦ Πυθαγόρου.

17,15 sqq.: Plat. Tim. 47a ὄψις δὴ κατὰ τὸν ἐμὸν λόγον αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν, ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἄν ποτε ἐρρήθη μήτε ἄστρα μήτε ἥλιον

μήτ' οὐρανὸν ἰδόντων. νῦν δ' ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δὲ ἔννοιαν περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν· ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν.

20,18: Aet. Plac. IV 10,1 (Diels Dox. p. 399) οἱ Στωικοὶ πέντε τὰς εἰδικὰς αἰσθήσεις, ὅρασιν ἀκοὴν ὄσφρησιν γεῦσιν ἁφήν.

23,5: Diog. La. VII 148 φύσιν δὲ ποτὲ μὲν ἀποφαίνονται (Stoici) τὴν συνέχουσαν τὸν κόσμον, ποτὲ δὲ τὴν φύουσαν τὰ ἐπὶ γῆς. ἔστι δὲ φύσις ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὑτῆς ἐν ὡρισμένοις χρόνοις καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη.

23,10: Arist. de gen. an. II 3. 736b 27 λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον· οὐθὲν γὰρ αὐτοῦ τῇ ἐνεργείᾳ κοινωνεῖ σωματικὴ ἐνέργεια.

30,16: Phot. Bibl. cod. 249 (vit. Pythag.) p. 440a 33 Bekk. ὅτι ὁ ἄνθρωπος μικρὸς κόσμος λέγεται. Macrob. comm. in Somn. Scip. II 12,11 *ideo physici mundum magnum hominem et hominem brevem mundum esse dixerunt.*

34,5 sqq.: Theol. Arith. p. 41 (ex Anatolio) ἀπὸ μονάδος ἑπτὰ ἀριθμοὶ ἐν διπλασίονι λόγῳ προσαυξηθέντες ποιοῦσι τὸν πρῶτον τετράγωνον ὁμοῦ καὶ κύβον τὸν ξδ', α'. β'. δ'. η'. ις'. λβ'. ξδ'· ἐν τριπλασίονι δὲ λόγῳ προσαυξηθέντες ἑπτὰ ἀριθμοὶ ποιοῦσι τὸν δεύτερον τετράγωνον καὶ κύβον τὸν ψκθ', α'. γ'. θ'. κζ'. πα'. σμγ'. ψκθ'.

35,6: Theol. Arith. p. 42 (ex Anatolio) ὁ ζ' λέγεται τῆς πρώτης συμφωνίας ἀριθμὸς εἶναι τῆς διὰ τεσσάρων, δγ', ἀναλογίας τε γεωμετρικῆς α'. β'. δ'.

35,11 sqq.: Theol. Arith. p. 42 (ex Anatolio) τοῦ πρωτοτύπου ὀρθογωνίου τριγώνου ὁ ζ' περιέχει τὰς περὶ τὴν ὀρθὴν γωνίαν πλευράς· τῶν γὰρ πλευρῶν ἡ μὲν δ', ἡ δὲ γ'.

35,18: Ioann. Lyd. de mens. II 7 p. 58 (Roether) διὰ τοῦτο οἱ Πυθαγόρειοι τριάδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι τὸ ὀρθογώνιον τρίγωνον ὑποτίθενται στοιχεῖον τῆς τῶν ὅλων γενέσεως.

35,22 sqq.: Theol. Arith. p. 42 (ex Anatolio) ἔτι ἑβδομὰς ἐκ τῶν τεσσάρων περάτων, σημείου γραμμῆς ἐπιφανείας πάχους, σῶμα δείκνυσιν.

36,5 sqq.: Alex. Aphrod. in Arist. Met. I 5 p. 29,7 (Bonitz) ἐπεὶ δὲ οὔτε γεννᾷ τινα τῶν ἐν τῇ δεκάδι ἀριθμῶν ὁ ἑπτὰ οὔτε γεννᾶται ὑπό τινος αὐτῶν, διὰ τοῦτο καὶ Ἀθηνᾶν ἔλεγον αὐτόν· ὁ μὲν γὰρ δύο τὸν τέσσαρα καὶ ὁ τρία τὸν ἐννέα καὶ τὸν ἕξ καὶ ὁ τέσσαρα τὸν ὀκτὼ καὶ ὁ πέντε τὸν δέκα γεννᾷ, γεννῶνται δὲ ὁ τέσσαρα καὶ ὁ ἕξ καὶ ὁ ὀκτὼ καὶ ὁ ἐννέα καὶ ὁ δέκα· ὁ δὲ ἑπτὰ οὔτε τινὰ γεννᾷ οὔτε ἔκ τινος γεννᾶται· τοιαύτη δὲ καὶ ἡ Ἀθηνᾶ ἀμήτωρ καὶ ἀεὶ παρθένος. Theon Smyrn. p. 103,1 καὶ ἡ ἑβδομὰς δὲ [τῆς δεκάδος οὖσα] θαυμαστὴν ἔχει δύναμιν· μόνος γὰρ τῶν ἐντὸς τῆς δεκάδος οὔτε γεννᾷ ἕτερον οὔτε γεννᾶται ὑφ' ἑτέρου. διὸ καὶ Ἀθηνᾶ ὑπὸ τῶν Πυθαγορικῶν ἐκαλεῖτο οὔτε μητρός τινος οὖσα οὔτε μήτηρ· οὔτε γὰρ γίνεται ἐκ συνδυασμοῦ οὔτε συνδυάζεταί τινι. τῶν γὰρ ἀριθμῶν τῶν ἐν τῇ δεκάδι οἱ μὲν γεννῶσί τε καὶ γεννῶνται, ὡς ὁ δʹ γεννᾷ μὲν μετὰ δυάδος τὸν ηʹ, γεννᾶται δὲ ὑπὸ δυάδος· οἱ δὲ γεννῶνται μέν, οὐ γεννῶσι δέ, ὡς ὁ ϛʹ γεννᾶται μὲν ὑπὸ βʹ καὶ γʹ, οὐ γεννᾷ δὲ οὐδένα τῶν ἐν τῇ δεκάδι· οἱ δὲ γεννῶσι μέν, οὐ γεννῶνται δέ, ὡς ὁ γʹ καὶ ὁ εʹ γεννῶνται μὲν ἐξ οὐδενὸς [ἀριθμοῦ] συνδυασμοῦ, γεννῶσι δὲ ὁ μὲν γʹ τὸν θʹ καὶ τὸν ϛʹ μετὰ δυάδος, ὁ δὲ εʹ γεννᾷ μετὰ δυάδος αὐτὸν τὸν ιʹ. μόνος δὲ ὁ ζʹ οὔτε συνδυασθείς τινι γεννᾷ τινα τῶν ἐν τῇ δεκάδι οὔτε ἐκ συνδυασμοῦ γεννᾶται. Hierocl. comm. in Aur. Carm. p. 465 . . . ἡ δὲ ἑβδομὰς ὡς ἀμήτωρ καὶ παρθένος τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει· οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος, ὡς ὁ δʹ ἐκ τοῦ δὶς βʹ καὶ ὁ ἕξ ἐκ τοῦ δὶς γʹ καὶ ὁ ηʹ ἐκ τοῦ δὶς δʹ καὶ ὁ θʹ ἐκ τοῦ τρὶς γʹ καὶ ὁ ιʹ ἐκ τοῦ δὶς εʹ, οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος, ὡς ὁ δύο τὸν τέσσαρα καὶ ὁ γʹ τὸν ἕξ καὶ τὸν θʹ καὶ ὁ εʹ τὸν ιʹ. Ioann. Lyd. de mens. III 6 p. 90 μεγίστη γὰρ ἡ δύναμις τῆς ἑπτάδος· ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς ἀμιγής ἐστι καὶ ἀμήτωρ, μήτε γεννῶν μήτε γεννώμενος, ὡς ἕκαστος τῶν ἐν τῇ δεκάδι ἀριθμῶν· ὅθεν οἱ Πυθαγόρειοι Ἀθηνᾷ τὴν ἑπτάδα ἀνατίθενται. Macrob. comm. in Somn. Scip. I 6,11 *huic autem numero, id est septenario, adeo opinio virginitatis inolevit, ut Pallas quoque vocitetur. nam virgo creditur, quia nullum ex se parit numerum duplicatus, qui intra denarium coartetur, quem primum limitem constat esse numerorum; Pallas ideo, quia ex solius monadis fetu et multiplicatione processit, sicut Minerva sola ex uno parente nata perhibetur.*

37,10 sqq.: Theol. Arith. p. 41 (ex Anatolio) ὅτι ὁ ἑπτὰ ἀμήτωρ καὶ παρθένος ἀπὸ μονάδος συντεθεὶς τὸν κη' ποιεῖ τέλειον· ἡμέραι σελήνης κη' καθ' ἑβδομάδα συμπληρωθεῖσαι. Theon Smyrn. p. 103,19 μὴν δὲ καθ' ἑβδομάδας τέσσαρας συμπληροῦται, τῇ μὲν πρώτῃ ἑβδομάδι διχοτόμου τῆς σελήνης ὁρωμένης, τῇ δὲ δευτέρᾳ πλησισελήνου, τῇ δὲ τρίτῃ διχοτόμου, πάλιν δὲ τῇ τετάρτῃ σύνοδον ποιουμένης πρὸς ἥλιον καὶ ἀρχὴν ἑτέρου μηνός. Gell. N. A. III 10,6 *Praeterea scribit* (Varro), *lunae curriculum confici integris quater septenis diebus, nam: die duodetricesimo luna, inquit, ex quo vestigio profecta est, eodem redit, auctoremque opinionis huius Aristidem esse Samium.* Macrob. comm. in Somn. Scip. I 6,48 *lunam quoque . . . numerus septenarius movet cursumque eius ipse dispensat. . . . luna octo et viginti prope diebus totius zodiaci ambitum conficit.* (52) *huius ergo viginti octo dierum numeri septenarius origo est. nam si ab uno usque ad septem quantum singuli numeri exprimunt tantum antecedentibus addendo procedas, invenies viginti octo nata de septem. hunc etiam numerum, qui in quater septenos aequa sorte digeritur, ad totam zodiaci latitudinem emetiendam remetiendamque consumit. . . .* (54) *similibus quoque dispensationibus hebdomadum luminis sui vices sempiterna lege variando disponit. primis enim septem usque ad medietatem velut divisi orbis excrescit et* διχότομος *tunc vocatur: secundis orbem totum renascentes ignes colligendo iam conplet et plena tunc dicitur: tertiis* διχότομος *rursus efficitur, cum ad medietatem decrescendo contrahitur: quartis ultima luminis sui diminutione tenuatur.*

38,1 sqq.: Macrob. comm. in Somn. Scip. I 6,36 *nec non omnium corporum tres sunt dimensiones, longitudo latitudo profunditas* (v. sup. ad 10,23), *termini adnumerato effectu ultimo quattuor, punctum linea superficies et ipsa soliditas.* 40 *ex quattuor igitur elementis et tribus eorum interstitiis absolutionem corporum constare manifestum est: ergo hi duo numeri, tria dico et quattuor, tam multiplici inter se cognationis necessitate sociati efficiendis utrisque corporibus consensu ministri foederis obsecuntur.*

38,15 sqq.: Theon. Smyrn. p. 104,5 ἔνιοι δέ φασι, . . . γενόμενα δὲ ἐν ἑπτὰ μησὶν ὀδοντοφυεῖν, ἐκβάλλειν τε τοὺς ὀδόντας ἐν ἑπτὰ

ἔτεσι· σπέρμα δὲ καὶ ἥβη ἐν δευτέρᾳ ἑβδομάδι· γένεια δ' ὡς ἐπίπαν ἐν τρίτῃ, ⟨ἐν ᾗ⟩ καὶ τὴν εἰς μῆκος αὔξην ἀπολαμβάνει, τὴν δ' εἰς πλάτος ἐν τετάρτῃ ἑβδομάδι. Macrob. comm. in Somn. Scip. I 6,70 *post annos septem dentes qui primi emerserant aliis aptioribus ad cibum solidum nascentibus cedunt.* ... (71) *post annos autem bis septem ipsa aetatis necessitate pubescit: tunc enim moveri incipit vis generationis in masculis et purgatio feminarum.* ... (72) *post ter septenos annos genas flore vestit iuventa idemque annus finem in longum crescendi facit: et quarta annorum hebdomas inpleta in latum quoque crescere ultra iam prohibet* etc.

40,4 sqq.: Theol. Arith. p. 42 (ex Anatolio) ἡλικίαι ἑπτά, ὥς φησιν Ἱπποκράτης· ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν, παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων. καὶ παιδίον μὲν ἄχρις ἑπτὰ ἐτέων, ὀδόντων ἐκβολή· παῖς δ' ἄχρις ⟨γονῆς⟩ ἐκφύσιος ἐς τὰ δὶς ζ'· μειράκιον δ' ἄχρι γενείου λαχνώσεως ἐς τὰ τρὶς ζ'· νεανίσκος δ' ἔστ' αὐξήσεως ὅλου τοῦ σώματος ἐς τὰ τετράκις ζ'· πρεσβύτης δ' ἄχρις ἐτῶν νϛ' ἐς τὰ ἑπτάκις η'· τὸ δ' ἐντεῦθεν γέρων.

41,5 sqq.: Sext. Pyrrh. hypot. III 155 καὶ οὕτω τά τε σώματα καὶ ὅλον τὸν κόσμον ἀνειδωλοποιοῦσιν (Pythagorei), ὅντινα καὶ διοικεῖσθαί φασι κατὰ ἁρμονικοὺς λόγους, τόν τε διὰ τεσσάρων, ὅς ἐστιν ἐπίτριτος, ὡς ἔχει πρὸς τὰ ἓξ τὰ ὀκτώ, καὶ τὸν διὰ πέντε, ὅς ἐστιν ἡμιόλιος, ὡς ἔχει πρὸς τὰ ἓξ τὰ ἐννέα, καὶ τὸν διὰ πασῶν, ὅς ἐστι διπλάσιος, ὡς ἔχει πρὸς τὰ ἓξ τὰ δώδεκα.

41,9 sqq.: Theon Smyrn. p. 85,8 ἀναλογίας δὲ ὁ μὲν Θράσυλλός φησιν εἶναι προηγουμένας τρεῖς, ἀριθμητικὴν γεωμετρικὴν ἁρμονικήν· ἀριθμητικὴν μὲν τὴν ταὐτῷ ἀριθμῷ ὑπερέχουσαν καὶ ὑπερεχομένην, ⟨οἷον ϛ' θ' ιβ'· γεωμετρικὴν δὲ τὴν ταὐτῷ λόγῳ ὑπερέχουσαν καὶ ὑπερεχομένην,⟩ οἷον διπλασίῳ ἢ τριπλασίῳ, ὡς γ' ϛ' ιβ'· ἁρμονικὴν δὲ τὴν ταὐτῷ μέρει τῶν ἄκρων ὑπερέχουσαν καὶ ὑπερεχομένην, οἷον τρίτῳ ἢ τετάρτῳ, οἷον ϛ' η' ιβ'. p. 102,7 κατὰ τοῦτον δὲ πρῶτον (τὸν ϛ') συνέστη ἡ ἁρμονικὴ μεσότης ληφθέντος [μὲν] τοῦ ϛ' ἐπιτρίτου ⟨μὲν⟩ λόγου τῶν η', διπλασίου δὲ τῶν ιβ'· ϛ' η' ιβ'· τῷ γὰρ αὐτῷ μέρει ὁ η' τῶν ἄκρων ὑπερέχει καὶ ὑπερέχεται, ϛ' η' ιβ', τουτέστι τῷ τρίτῳ. καὶ ἀριθμητικὴ δὲ μεσότης ληφθέντος τοῦ ϛ' ἡμιολίου μὲν λόγου τῶν θ',

διπλασίου δὲ τῶν ιβʹ· τῷ γὰρ αὐτῷ ἀριθμῷ τὰ θʹ ὑπερέχει τῶν ἄκρων καὶ ὑπερέχεται. ποιεῖ δὲ τὴν γεωμετρικὴν ἀναλογίαν μέσος ληφθείς· ἂν γὰρ ἥμισυ αὐτοῦ λάβωμεν τὸν γʹ καὶ διπλάσιον τὸν ιβʹ, ἔσται ἡμῖν ἡ γεωμετρικὴ ἀναλογία γʹ ϛʹ ιβʹ· τῷ γὰρ αὐτῷ λόγῳ τὰ ϛʹ τῶν ἄκρων ὑπερέχει τε καὶ ὑπερέχεται, γʹ ϛʹ ιβʹ, τουτέστι τῷ διπλασίῳ.

1,15 sqq.: Theon Smyrn. p. 114,14 ἁρμονικὴ δέ ἐστιν ἀναλογία, ἐπειδὰν τριῶν ὅρων προτεθέντων ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν τρίτον, τὸν αὐτὸν ἡ τοῦ πρώτου ὑπεροχὴ πρὸς τὴν τοῦ δευτέρου ὑπεροχὴν ἔχῃ.

2,10: Gell. N. A. III 10,3 *circulos quoque ait* (Varro) *in caelo circum longitudinem axis septem esse.*

2,15 sqq.: Sext. adv. math. IX 79 . . . κατὰ γὰρ τὰς τῆς σελήνης αὐξήσεις καὶ φθίσεις πολλὰ τῶν τε ἐπιγείων ζῴων καὶ θαλασσίων φθίνει τε καὶ αὔξεται, ἀμπώτεις τε καὶ πλημμυρίδες περί τινα μέρη τῆς θαλάσσης γίνονται. ὡσαύτως δὲ καὶ κατά τινας τῶν ἀστέρων ἐπιτολὰς καὶ δύσεις μεταβολαὶ τοῦ περιέχοντος καὶ παμποίκιλοι περὶ τὸν ἀέρα τροπαὶ συμβαίνουσιν, ὁτὲ μὲν ἐπὶ τὸ κρεῖττον ὁτὲ δὲ λοιμικῶς.

2,17 sqq.: Theon Smyrn. p. 148,17 πρὸς δὲ τὴν χρόνου διαρίθμησιν καὶ τὴν τῶν περιγείων καὶ ἀπογείων μεταβολὴν ἐγένετο ἡ τῶν πλανωμένων φορὰ ποικίλη τις ἤδη συνεστηκυῖα, ὥστε ἀκολουθεῖν αὐτῇ τὸ ἐνταῦθα· ταῖς γὰρ τούτων τροπαῖς προσιόντων καὶ ἀπιόντων συμμεταβάλλει καὶ τἀνταῦθα παντοίως. p. 149,7 καὶ γὰρ γένεσις καὶ φθορὰ περὶ πάντα τἀνταῦθα καὶ αὔξησις καὶ μείωσις ἀλλοίωσίς τε παντοία καὶ ἡ κατὰ τόπον ποικίλη φορά. τούτων δέ, φησίν (Empedocles), αἴτια τὰ πλανώμενα τῶν ἄστρων. Macrob. comm. in Somn. Scip. I 6,47 *septem quoque vagantium sphaerarum ordinem illi stelliferae et omnes continenti subiecit artifex fabricatoris providentia, quae et superioris rapidis motibus obviarent et inferiora omnia gubernarent.*

4,9: Diog. La. VII 140 ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζειν τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια σύμπνοιαν καὶ συντονίαν.

4,12 sqq.: Aet. Plac. IV 4,4 (Diels Doxogr. p. 390) οἱ Στωικοὶ ἐξ ὀκτὼ μερῶν φασι συνεστάναι (animam), πέντε μὲν τῶν αἰσθητικῶν ὁρατικοῦ ἀκουστικοῦ ὀσφραντικοῦ γευστικοῦ ἁπτικοῦ, ἕκτου

δὲ φωνητικοῦ, ἑβδόμου δὲ σπερματικοῦ, ὀγδόου δὲ αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις. ib. IV 21.1 (Diels Dox. p. 410) οἱ Στωικοί φασιν εἶναι τῆς ψυχῆς ἀνώτατον μέρος τὸ ἡγεμονικόν, τὸ ποιοῦν τὰς φαντασίας καὶ συγκαταθέσεις καὶ αἰσθήσεις καὶ ὁρμάς· καὶ τοῦτο λογισμὸν καλοῦσιν. (2) ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἑπτὰ μέρη ἐστὶ τῆς ψυχῆς ἐκπεφυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα καθάπερ αἱ ἀπὸ τοῦ πολύποδος πλεκτάναι· τῶν δὲ ἑπτὰ μερῶν τῆς ψυχῆς πέντε μέν εἰσι τὰ αἰσθητήρια, ὅρασις ὄσφρησις ἀκοὴ γεῦσις καὶ ἁφή. ... (4) τῶν δὲ λοιπῶν τὸ μὲν λέγεται σπέρμα, ... τὸ δὲ „φωνᾶεν" ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν. Porphyr. ap. Stob. Ecl. I 49,25[a] αὐτίκα οἱ μὲν ἀπὸ τῆς Στοᾶς ὀκταμερῆ τὴν ψυχὴν θέντες καὶ πέντε μὲν μέρη τὰ αἰσθητικὰ λαβόντες, ἕκτον δὲ τὸ φωνητικὸν καὶ ἕβδομον τὸ σπερματικόν, καὶ λοιπὸν τὸ ἡγεμονικὸν ὡς ἂν ἄρχοντος χώραν ἔχειν ὑπετίθεντο, τὰ δὲ ἄλλα μέρη ἐν ὑπηρέτου τάξει ἀπεδίδοσαν. Diog. La. VII 157 (cf. 110) μέρη δὲ ψυχῆς λέγουσιν ὀκτώ, τὰς πέντ' αἰσθήσεις καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους καὶ τὸ φωνητικὸν καὶ τὸ λογιστικόν.

44,17 sqq.: Theol. Arith. p. 50 (ex Nicomacho) σπλάγχνα τε γὰρ τὰ λεγόμενα μέλη (l. μέλανα) ἑπτὰ κατ' αὐτὴν ἐμπέφυκεν ἡμῖν, γλῶττα, καρδία, ἧπαρ, πνεύμων, σπλήν, νεφροὶ δύο· καὶ τὰ καθολικὰ μέρη τοσαῦτα, ἅπερ ἐστὶ κεφαλή, θώραξ, χεῖρες δύο, πόδες δύο καὶ αἰδοῖον· κατὰ μέρος δὲ διατρήσεις ἐν μὲν τῷ προσώπῳ ζ', ὀφθαλμῶν δύο, ὤτων δύο, ῥινῶν δύο, στόματος α'. Theon Smyrn. p. 104,14 καὶ πόροι δὲ κεφαλῆς ἑπτά· καὶ σπλάγχνα ἑπτά, γλῶσσα, καρδία, πνεύμων, ἧπαρ, σπλήν, νεφροὶ δύο. Macrob. comm. in Somn. Scip. I 6,77 *idem numerus totius corporis membra disponit· septem sunt enim intra hominem quae a Graecis nigra membra vocitantur, lingua cor pulmo iecur lien renes duo*: ... (80) *in aperto quoque septem sunt corporis partes, caput pectus manus pedesque et pudendum*. ... (81) *et quia sensus eorumque ministeria natura in capite velut in arce constituit, septem foraminibus sensuum celebrantur officia, id est oris ac deinde oculorum narium et aurium binis.*

45,9 sqq.: Theol. Arith. p. 42 (ex Anatolio) ἑπτὰ ὁρῶμεν· σῶμα, διάστασιν, σχῆμα, μέγεθος, χρῶμα, κίνησιν, στάσιν. . . . πάντα φιλέβδομα· φωνήεντα ἑπτά, φωνῆς μεταβολαὶ ἑπτά.

45,14: Theol. Arith. p. 42 (ex Anatolio) κινήσεις ἑπτά· ἄνω, κάτω, πρόσω, ὀπίσω, δεξιά, ἀριστερά, μέσον. Macrob. comm. in Somn. Scip. I 6,81 (cf. Sat. VII 9,3) *immo ideo et septem motibus omne corpus agitatur: aut enim accessio est aut recessio aut in laevam dextramve deflexio aut sursum quis seu deorsum movetur aut in orbem rotatur.*

46,2: Gell. N. A. III 10,7 *ad homines quoque nascendos vim numeri istius porrigi pertinereque ait* (Varro): *nam cum in uterum, inquit, mulieris genitale semen datum est, primis septem diebus conglobatur coagulaturque fitque ad capiendam figuram idoneum.* cf. Hippocr. π. φύσιος παιδίου I p. 385 Kühn (Theol. Arith. p. 46. Macrob. comm. in Somn. Scip. I 6,63 sq.).

46,4: Macrob. comm. in Somn. Scip. I 6,62 . . . *uterum nulla vi seminis occupatum hoc dierum numero natura constituit, velut decreto exonerandae mulieris vectigali, mense redeunte purgari.*

46,5: Aet. Plac. V 18,6 (Diels Dox. p. 429) οἱ δὲ μαθηματικοὶ τοὺς ὀκτὼ μῆνας ἀσυνδέτους φασὶν εἶναι πάσης γενέσεως, τοὺς δὲ ἑπτὰ συνδετικούς· . . . διὰ τοῦτο καὶ τὰ ἑπτάμηνα ὄντα καὶ δεκάμηνα γόνιμα εἶναι, τὰ δὲ ὀκτάμηνα διὰ τὸ ἀσύνδετον τοῦ κόσμου φθείρεσθαι. Theol. Arith. p. 47 (ex Nicomacho) τῆς δὲ γονιμότητος αἰτίαν μάλιστα τὴν ἑβδομάδα ὑπάρχειν δηλοῖ τὸ καὶ τὰ ἑπταμηνιαῖα δι' αὐτὴν ζώσιμα οὐκ ἔλαττον τῶν ἐννεαμηνιαίων γίνεσθαι, διαφθείρεσθαι δὲ ὑπὸ τῆς φυσικῆς ἀνάγκης τὰ ἀμφοῖν μέσα τεταγμένα ὀκταμηνιαῖα.

46,8: Theon Smyrn. p. 104,9 αἵ τε κρίσεις τῶν νόσων ἐφ' ἡμέρας ἑπτά, καὶ ἡ βαρυτέρα κατὰ πάντας τοὺς περιοδικοὺς πυρετοὺς εἰς τὴν ἑβδόμην ἀπαντᾷ. Ioann. Lyd. de mens. III 6 p. 92 (Roether) λέγεται δὲ καὶ κρίσις διὰ τὸ τῷ ταύτης ἀριθμῷ πάντα λαμβάνειν τὴν ἐπὶ θάτερον ἔκβασιν. Gell. N. A. III 10,14 *discrimina etiam periculorum in morbis maiore vi fieri putat* (Varro) *in diebus, qui conficiuntur ex numero septenario, eosque dies omnium maxime, ita ut medici appellant,* κρισίμους. Macrob. comm. in Somn. Scip. I 6,81 *unde non immerito hic*

numerus, totius fabricae dispensator et dominus, aegris quoque corporibus periculum sanitatemve denuntiat.

47,1 sqq.: Nicom. ap. Phot. Bibl. cod. 187 p. 144b 14 Bekk. ἡ δὲ ἑβδομὰς — τί ἄν τις καὶ εἴποι; εὐθὺς μὲν γάρ ἐστι σεπτάς· . . . τοιαύτη μὲν ἡ ἀπόδειξις θαυμαστή, ὡς ἔστι πάντως σεπτὰς καὶ σεβασμοῦ ἄξιος ὁ ἑπτά. Theol. Arith. p. 43 (ex Nicomacho) ὅτι τὴν ἑπτάδα οἱ Πυθαγορικοὶ οὐχ ὁμοίως τοῖς ἄλλοις φασὶν ἀριθμοῖς, ἀλλὰ σεβασμοῦ φασιν ἀξίαν· ἀμέλει σεπτάδα προσηγόρευον αὐτήν, καθὰ καὶ Πρῶρος ὁ Πυθαγορικὸς ἐν τῷ περὶ τῆς ἑβδομάδος φησί. Macrob. comm. in Somn. Scip. I 6,45 *hic numerus* ἑπτὰς *nunc vocatur antiquato usu primae litterae: apud veteres enim* σεπτὰς *vocitabatur, quod Graeco nomine testabatur venerationem debitam numero.*

51,1 sqq.: Diog. La. VII 157 Ζήνων δ' ὁ Κιτιεὺς καὶ Ἀντίπατρος ἐν τοῖς περὶ ψυχῆς καὶ Ποσειδώνιος πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι. Chrysipp. ap. Galen. de Hipp. et Plat. III 1 tom. V p. 287 (Kühn) ἡ ψυχὴ πνεῦμά ἐστι σύμφυτον ἡμῖν συνεχὲς παντὶ τῷ σώματι διῆκον, ἔστ' ἂν ἡ τῆς ζωῆς συμμετρία παρῇ ἐν τῷ σώματι. Sen. Epist. 66,12 *ratio autem nihil aliud est quam in corpus humanum pars divini spiritus mersa.*

54,9 sqq.: Arius Didym. ap. Euseb. Pr. Ev. XV 15,3 (Diels Dox. p. 464) de Stoicis: λέγεσθαι δὲ κόσμον καὶ τὸ οἰκητήριον θεῶν καὶ ἀνθρώπων ⟨ἢ τὸν ἐκ θεῶν καὶ ἀνθρώπων⟩ καὶ τῶν ἕνεκα τούτων γενομένων συνεστῶτα· ὃν γὰρ τρόπον πόλις λέγεται διχῶς τό τε οἰκητήριον καὶ τὸ ἐκ τῶν ἐνοικούντων σὺν τοῖς πολίταις σύστημα, οὕτω καὶ ὁ κόσμος οἱονεὶ πόλις ἐστὶν ἐκ θεῶν καὶ ἀνθρώπων συνεστῶσα, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν ἐχόντων, τῶν δ' ἀνθρώπων ὑποτεταγμένων. κοινωνίαν δ' ὑπάρχειν πρὸς ἀλλήλους διὰ τὸ λόγου μετέχειν, ὅς ἐστι φύσει νόμος· τὰ δ' ἄλλα πάντα γεγονέναι τούτων ἕνεκα. Plut. de comm. not. 34,6 ἀλλὰ μὴν τόν γε κόσμον εἶναι πόλιν καὶ πολίτας τοὺς ἀστέρας. Cic. de fin. III 19,64 *mundum autem censent* (Stoici) *regi numine deorum eumque esse quasi communem urbem et civitatem hominum et deorum.* Cic. de nat. deor. II 62,154 *est enim mundus quasi communis deorum atque hominum domus aut urbs utrorumque.*

ł,18 sqq.: Chrysipp. ap. Diog. La. VII 88 διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατά τε τὴν αὑτοῦ καὶ κατα τὴν τῶν ὅλων, οὐδὲν ἐνεργοῦντας ὧν ἀπαγορεύειν εἴωθεν ὁ νόμος ὁ κοινός, ὅσπερ ἐστὶν ὁ ὀρθὸς λόγος διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διὶ καθηγεμόνι τούτῳ τῆς τῶν ὅλων διοικήσεως ὄντι· εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ τῶν ὅλων διοικητοῦ βούλησιν. M. Aurel. V 27 συζῇ δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις, ποιοῦσαν δὲ ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν ἀπόσπασμα ἑαυτοῦ· οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος.

5,17 sqq.: Epict. diss. I 14,6 ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα. Alex. Polyh. ap. Diog. La. VIII 28 διαφέρειν τε ψυχὴν ζωῆς· ἀθάνατόν τ' εἶναι αὐτήν, ἐπειδήπερ καὶ τὸ ἀφ' οὗ ἀπέσπασται ἀθάνατόν ἐστι.

55,19 sqq.: Phot. Bibl. cod. 249 (vit. Pythag.) p. 440a 33 Bekk. ὅτι ὁ ἄνθρωπος μικρὸς κόσμος λέγεται, οὐχ ὅτι ἐκ τῶν τεσσάρων στοιχείων σύγκειται (τοῦτο γὰρ καὶ ἕκαστον τῶν ζῴων καὶ τῶν εὐτελεστάτων), ἀλλ' ὅτι πάσας ἔχει τὰς τοῦ κόσμου δυνάμεις· ἐν γὰρ τῷ κόσμῳ εἰσὶ θεοί, ἔστι καὶ τὰ τέσσαρα στοιχεῖα, ἔστι καὶ τὰ ἄλογα ζῷα, ἔστι καὶ φυτά· πάσας δὲ ταύτας τὰς δυνάμεις ἔχει ὁ ἄνθρωπος· ἔχει γὰρ θείαν μὲν δύναμιν τὴν λογικήν, ἔχει τὴν τῶν στοιχείων φύσιν τὴν θρεπτικὴν καὶ αὐξητικὴν καὶ τοῦ ὁμοίου γεννητικήν.

62,6 sqq.: Sext. adv. math. XI 96 ἀλλ' εἰώθασί τινες τῶν ἀπὸ τῆς Ἐπικούρου αἱρέσεως πρὸς τὰς τοιαύτας ἀπορίας ὑπαντῶντες λέγειν ὅτι φυσικῶς καὶ ἀδιδάκτως τὸ ζῷον φεύγει μὲν τὴν ἀλγηδόνα, διώκει δὲ τὴν ἡδονήν· γεννηθὲν γοῦν καὶ μηδέπω τοῖς κατὰ δόξαν δουλεῦον ἅμα τῷ ῥαπισθῆναι (ῥιπισθῆναι Usener) ἀσυνήθει ἀέρος ψύξει ἔκλαυσέ τε καὶ ἐκώκυσεν. Sext. Pyrrh. hypot. III 194 ὅθεν καὶ οἱ Ἐπικούρειοι δεικνύναι νομίζουσι φύσει αἱρετὴν εἶναι τὴν ἡδονήν· τὰ γὰρ ζῷά φασιν ἅμα τῷ γενέσθαι ἀδιάστροφα ὄντα ὁρμᾶν μὲν ἐπὶ τὴν ἡδονήν, ἐκκλίνειν δὲ ἀλγηδόνας. [Diog. La. VII 85 ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίγνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις, ψεῦδος ἀπο-

φαίνουσιν (Stoici)]. Alex. Aphrod. in Arist. de anima II 19 p. 150,33 (Bruns) τοῖς δὲ περὶ Ἐπίκουρον ἡδονὴ τὸ πρῶτον οἰκεῖον ἔδοξεν εἶναι ἁπλῶς, προϊόντων δὲ διαρθροῦσθαι ταύτην τὴν ἡδονήν φασιν. Cic. de fin. I 9,30 *hoc Epicurus ... instituit docere sic: omne animal, simul atque natum sit, voluptatem adpetere eaque gaudere ut summo bono, dolorem aspernari ut summum malum et quantum possit a se repellere, idque facere nondum depravatum, ipsa natura incorrupte atque integre iudicante.* Cic. de fin. II 10,31 *a primo, ut opinor, animantium ortu petitur origo summi boni. simul atque natum animal est, gaudet voluptate et eam adpetit ut bonum, aspernatur dolorem ut malum. de malis autem et bonis ab iis animalibus, quae nondum depravata sint, ait optime iudicari.* Diog. La. X 137 ἀποδείξει δὲ χρῆται (Epicurus) τοῦ τέλος εἶναι τὴν ἡδονὴν τῷ τὰ ζῷα ἅμα τῷ γεννηθῆναι τῇ μὲν εὐαρεστεῖσθαι, τῷ δὲ πόνῳ προσκρούειν φυσικῶς καὶ χωρὶς λόγου. X 34 πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα, ἱστάμενα περὶ πᾶν ζῷον· καὶ τὴν μὲν οἰκεῖον, τὴν δὲ ἀλλότριον· δι' ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς. Usener Epicurea frg. 398 p. 274.

64,15 sqq.: Aet. Plac. IV 12,1 (Diels Dox. p. 401) Χρύσιππος διαφέρειν ἀλλήλων φησὶ τέτταρα ταῦτα. φαντασία μὲν οὖν ἐστι πάθος ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἐν αὑτῷ καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκόν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. καὶ ⟨κατὰ⟩ τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν, ὅτι ὑπόκειται λευκὸν κινοῦν ἡμᾶς· ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως. Sext. adv. math. VII 227 κριτήριον τοίνυν φασὶν ἀληθείας εἶναι οἱ ἄνδρες οὗτοι (Stoici) τὴν καταληπτικὴν φαντασίαν. . . . (228) φαντασία οὖν ἐστι κατ' αὐτοὺς τύπωσις ἐν ψυχῇ· περὶ ἧς εὐθὺς καὶ διέστησαν· Κλεάνθης μὲν γὰρ ἤκουσε τὴν τύπωσιν κατὰ εἰσοχήν τε καὶ ἐξοχήν, ὥσπερ καὶ διὰ τῶν δακτυλίων γινομένην τοῦ κηροῦ τύπωσιν, Χρύσιππος δὲ ἄτοπον ἡγεῖτο τὸ τοιοῦτο. ... (230) αὐτὸς οὖν τὴν τύπωσιν εἰρῆσθαι ὑπὸ τοῦ Ζήνωνος ὑπενόει ἀντὶ τῆς ἑτεροιώσεως, ὥστ' εἶναι τοιοῦτον τὸν λόγον „φαντασία ἐστὶν ἑτεροίωσις ψυχῆς." ... (231) ὥσπερ γὰρ ὁ ἀήρ, ὅταν ἅμα πολλοὶ φωνῶσιν, ἀμυθήτους ὑπὸ ἓν καὶ διαφερούσας ἀναδεχόμενος πληγὰς εὐθὺς πολλὰς ἴσχει καὶ τὰς ἑτεροιώσεις, οὕτω καὶ τὸ

ἡγεμονικὸν ποικίλως φαντασιούμενον ἀνάλογόν τι τούτῳ πείσεται. ibid. 249 καὶ γὰρ κατ' αὐτὸ τὸ ὑπάρχον δεῖ γίνεσθαι τὴν καταληπτικὴν φαντασίαν, (250) οὐ μὴν ἀλλὰ καὶ ἐναπομεμαγμένην καὶ ἐναπεσφραγισμένην τυγχάνειν, ἵνα πάντα τεχνικῶς τὰ ἰδιώματα τῶν φαντασιῶν ἀναμάττηται. (251) ὡς γὰρ οἱ γλυφεῖς πᾶσι τοῖς μέρεσι συμβάλλουσι τῶν τελουμένων, καὶ ὃν τρόπον αἱ διὰ τῶν δακτυλίων σφραγῖδες ἀεὶ πάντας ἐπ' ἀκριβὲς τοὺς χαρακτῆρας ἐναπομάττονται τῷ κηρῷ, οὕτω καὶ οἱ κατάληψιν ποιούμενοι τῶν ὑποκειμένων πᾶσιν ὀφείλουσι τοῖς ἰδιώμασιν αὐτῶν ἐπιβάλλειν. cf. Diog. La. VII 45. 46. 50.

6,20: Plat. Tim. 31a πότερον οὖν ὀρθῶς ἕνα οὐρανὸν προσειρήκαμεν ἢ πολλοὺς καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; ἕνα, εἴπερ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται. τὸ γὰρ περιέχον πάντα, ὁπόσα νοητὰ ζῷα, μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτ' εἴη. . . . ἵνα οὖν τόδε κατὰ τὴν μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζῴῳ, διὰ ταῦτα οὔτε δύο οὔτ' ἀπείρους ἐποίησεν ὁ ποιῶν κόσμους, ἀλλ' εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς ἔστι τε καὶ ἔτ' ἔσται. Diog. La. VII 143 ὅτι θ' εἷς ἐστι (ὁ κόσμος), Ζήνων φησὶν ἐν τῷ περὶ τοῦ ὅλου καὶ Χρύσιππος καὶ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ καὶ Ποσειδώνιος ἐν πρώτῳ τοῦ φυσικοῦ λόγου.

6,21 sqq.: Plat. Tim. 32c τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου ξύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς ξυνέστησεν αὐτὸν ὁ ξυνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῷον τέλεον ἐκ τελέων τῶν μερῶν εἴη, πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν, ἔτι δὲ ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ.

7,2 sq.: Plat. Tim. 55c ἃ δή τις εἰ πάντα λογιζόμενος ἐμμελῶς ἀποροίη, πότερον ἀπείρους χρὴ κόσμους εἶναι λέγειν ἢ πέρας ἔχοντας, τὸ μὲν ἀπείρους ἡγήσαιτ' ἂν ὄντως ἀπείρου τινὸς εἶναι δόγμα ὧν ἔμπειρον χρεὼν εἶναι.

Index.

Typis Grassi, Barthii et Socii (W. Friedrich) Vratislaviae.

This book should be returned to the Library on or before the last date stamped below.

A fine is incurred by retaining it beyond the specified time.

Please return promptly.